www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΠΝΕΥΜΑΤΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΟΣ

**Δρος Χαραλάμπους Μ. Μπούσια**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΠΝΕΥΜΑΤΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΑΚΩΒΟΥ
## ΤΟΥ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΟΣ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ 22ᾳ Νοεμβρίου*

# ΕΝ ΤΩ͂Ι ΜΙΚΡΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα
ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν
τὰ ἑξῆς Προσόμοια·

*Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.*

Τὸ τῆς ἁπλότητος κέρας,
τὸν χριστομίμητον
ἐν τοῖς τοῦ βίου τρόποις,
ἀγγελόμορφον ἄρτι
ὀφθέντα χριστωνύμοις ὡς ἀσκητῶν
τῶν μεγάλων ὁμόζηλον,

---

* Ἐκοιμήθη τὴν 21ην Νοεμβρίου, ἀλλὰ λόγῳ τῆς ἑορτῆς τῶν Εἰσοδίων ἡ μνήμη αὐτοῦ μετατίθεται εἰς τὴν 22αν.

δι’ ὃν ἡ Εὔβοια γάνυται καὶ σκιρτᾷ
νῦν ὑμνήσωμεν, Ἰάκωβον.

Τῆς τοῦ Χριστοῦ Ἐκκλησίας
σεμνὸν διάκοσμον,
τὸ τῆς σκληραγωγίας
θεοστήρικτον τεῖχος,
ἀγάπης πρὸς τὸν πέλας καὶ τὸν Θεὸν
νῦν θεότευκτον τέμενος
εὐσεβοφρόνως, Ἰάκωβον, μελιχροῖς
μελῳδήμασι τιμήσωμεν.

Ἀγγελικῶς ἐν τῇ μάνδρᾳ
πολιτευσάμενος
Δαβὶδ τοῦ ἐν Εὐβοίᾳ
τοῦ νοός σου τὸ ὄμμα
νηστείαις, ἀγρυπνίαις καὶ προσευχαῖς
πρὸς τὸν Κτίστην ἐπτέρωσας·
καὶ νῦν ἀγγέλοις, Ἰάκωβε, συνοικεῖς
δόξαν ἄῤῥητον θεώμενος.

Τίς χαρμονῆς οὐκ ἐπλήσθη
ἐπισκεψάμενος
σὲ καὶ οὐκ ἀπηλλάγη
ἐκ τοῦ βίου τοῦ ἄχθους,
Ἰάκωβε, χαρίτων τῶν τοῦ Θεοῦ
ἀκατάλυτε τράπεζα
καὶ βίβλε πάγχρυσε πράξεων ἀληθοῦς
συμπαθείας πρὸς τοὺς πάσχοντας;

*Δόξα. Ἦχος δ΄.*

Προσκολληθεὶς ἐκ νεότητος τῷ Κυρίῳ
τοῦ θείου θελήματος ἐργάτης δόκιμος
καὶ τῶν πάλαι ἀσκητῶν ἰσοστάσιος ὤφθης
ἀρτίως, Ἰάκωβε ὅσιε·
ὅθεν καὶ τῶν ἀθεάτων τὰ κάλλη
διὰ τῶν χοϊκῶν σου ὀφθαλμῶν θεάσασθαι ἠξιώθης
καὶ τῆς ἀτελευτήτου εὐφροσύνης
προεγεύσω τὴν ὡραιότητα·
αὐτῆς οὖν καὶ ἡμᾶς ἀξίωσον
τοὺς ἔχοντάς σε πρεσβευτὴν θερμότατον πρὸς Κύριον
καὶ μελιχροῖς ἐν ὕμνοις τιμῶντας
τὴν ἀεισέβαστον μνήμην σου, χαριτόβρυτε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. (Ἐκ τοῦ Μηναίου).*

Σήμερον ὁ θεοχώρητος ναός, ἡ Θεοτόκος,
ἐν ναῷ Κυρίου προσάγεται
καὶ Ζαχαρίας ταύτην ὑποδέχεται.
Σήμερον τὰ τῶν ἁγίων ἅγια ἀγάλλονται
καὶ ὁ χορὸς τῶν ἀγγέλων
μυστικῶς πανηγυρίζει·
μεθ᾽ ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον
σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν·
Χαῖρε, Κεχαριτωμένη·
ὁ Κύριος μετὰ σοῦ
ὁ ἔχων τὸ μέγα ἔλεος.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ηὔγασας ἀστραπαῖς
τῶν θείων ἀρετῶν σου
οὐ μόνον τῆς Εὐβοίας,
ἀλλὰ Ἑλλάδος πάσης
τὰ πέρατα, Ἰάκωβε.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος
τοῦ Ὁσίου Αὐτοῦ.

Δεύτερον ἡ μονὴ
Δαβὶδ τοῦ θεοφόρου
προστάτην σε κατέχει,
ἀκέστορα καὶ ῥύστην
ἐκ θλίψεων, Ἰάκωβε.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς
ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ὥσπερ ἐν τῇ ζωῇ
καὶ ἐν τῇ σῇ κοιμήσει,
καὶ μετὰ πότμον οὕτω
πιστῶν σοι αἱ χορεῖαι
προστρέχουσιν, Ἰάκωβε.

*Δόξα. Τριαδικόν.*

ᾜνει Σου, πανσθενὲς
Τριάς, ὑπεραγία,
δι᾽ ἔργων καὶ ῥημάτων
τὸ κράτος ἐν τῷ βίῳ
ὁ ἀσκητὴς Ἰάκωβος.

www.tezaurliturgic.ro

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα Μαριάμ,
εὐχαῖς τοῦ σοῦ οἰκέτου,
ὁσίου Ἰακώβου,
ἐκ τῶν παγίδων ῥῦσαι
ἡμᾶς τοῦ πολεμήτορος.

*Νῦν ἀπολύεις..... τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.*

# ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

*Ἦχος αʹ. Πανεύφημοι μάρτυρες.*

Ἐκ ῥίζης ὡς ἄνθος εὐθαλὲς
εὐλαβοῦς ἀνέθηλας
ἐν Λιβισίῳ, Ἰάκωβε,
καὶ τὸν τραχύτατον
τῶν προσφύγων δρόμον
διετὲς παιδάριον
διήνυσας, τὸν σὲ κατευθύναντα
εἰς τὸν ἡδύπνευστον
ῥοδεῶνα θείας χάριτος
καὶ λειμῶνα
τερπνὸν ὁσιότητος.

Ἀθύρματα φεύγων νεαρῶν,
πάτερ, ὁμηλίκων σου
ἐν ναΐδίοις ἐσχόλαζες
δοξάζων Κύριον
καὶ ἁγίων δήμους

καθ’ ἑκάστην ᾄσμασιν
εὐήχοις ἀναμέλπων, Ἰάκωβε·
σὺ γὰρ νεότητος
παρορῶν ὁρμὴν τὴν φρόνησιν
πρεσβυτέρων
ἐδείκνυς, σοφώτατε.

Μονὴν τοῦ θεόφρονος Δαβὶδ
κολυμβήθραν ἔδειξας
τοῦ Σιλωὰμ ἄλλην νάματα
προχέων ἅπασι
τοῖς μετ’ εὐλαβείας
ἐν σπουδῇ προστρέχουσιν
αὐτῇ καὶ τὰς θερμὰς ἱκεσίας σου
πρὸς τὸν Παντάνακτα
ἐκζητοῦσι, χαριτόβρυτε,
Εὐβοέων,
Ἰάκωβε, κόσμημα.

Τῷ βέλει κεντούμενος Χριστοῦ
τῆς ἀγάπης, ὅσιε,
ἐκ τῆς Φαράκλης ἐμάκρυνας
καὶ κατεσκήνωσας
εἰς Δαβὶδ τοῦ θείου
τὴν μονήν, Ἰάκωβε,
ἣν ἔδειξας καμάτοις ἀόκνοις σου
κυψέλην πάνσεπτον
μονοτρόπων τὸ πανάγιον
ἀνυμνούντων
τοῦ Κτίσαντος ὄνομα.

Οὐδεὶς προσερχόμενος εἰς σέ,
Εὐβοέων σέμνωμα,
κατῃσχυμμένος, Ἰάκωβε,
ἐξεπορεύετο·
ὅθεν ἐν κινδύνοις,
ἀσθενείαις, θλίψεσι
καὶ πάσαις περιστάσεσιν ἅπαντες
εἰς σὲ προσέτρεχον
ὡς εἰς φρέαρ ἀκεσώδυνον
καὶ ταμεῖον
ἰάσεων ἄσυλον.

Ἀστέρα λαμπρὸν ὡς ὁδηγὸν
εἰς τὴν σήν, Ἰάκωβε,
πεζοπορίαν πρὸς σπήλαιον
Δαβὶδ τοῦ μάκαρος
ἐν νυκτὶ ζοφώδει
ἔσχες ἀσελήνῳ τε
ψυχρᾷ καὶ ὁμιχλώδει, πανόσιε,
δεικνύων ἅπασι
τοῦ Χριστοῦ τὴν εὐαρέσκειαν
καὶ Σωτῆρος
Θεοῦ πρὸς τοὺς μόχθους σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ἐπέφανεν ἡμῖν
ἡ τοῦ νέου ὁσίου, Ἰακώβου, μνήμη
τὸ νοητὸν τῆς Ἐκκλησίας στερέωμα λαμπρύνουσα·
ἀρτίως γὰρ οὗτος ἐκλάμψας
ἀκτῖσι παντοίων ἀρετῶν κατευθύνει

πρὸς φῶς Κυρίου τὸ ἄκτιστον
τοὺς αὐτῷ πιστῶς κραυγάζοντας·
Χαίροις, ὁ προεστὼς ὁ τίμιος
τῆς μονῆς Δαβὶδ τοῦ ὁσίου,
ὁ δι' ἀσκήσεως νυχθημέρου
ἀρθεὶς εἰς ὕψος τελειότητος·
Χαίροις, ὁ ἱλαρότητι τοῦ βλέμματός σου
καὶ γλυκύτητι τῶν θείων σου λόγων ἀναπαύσας
τὰ πλήθη τῶν πιστῶς σοι προσιόντων·
Χαίροις, ὁ τοῦ Παρακλήτου χάριν
δαψιλῶς οὐρανόθεν δεξάμενος
καὶ ταμεῖον θαυμασίων τῷ ὄντι δειχθεὶς ἀδαπάνητον·
Ἀλλ' ὦ σεμνότητος κέρας καὶ συμπαθείας ἀκρότης,
πρέσβευε Κυρίῳ ἀξιῶσαι καὶ ἡμᾶς
τῆς σὺν σοὶ ἀφθίτου βιώσεως.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. (Ἐκ τοῦ Μηναίου).*

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα...

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα.*
*(Κεφ. Κ΄ 5-13)*

Ὕδωρ βαθὺ βουλὴ ἐν καρδίᾳ ἀνδρός, ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν. Μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων, ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν. Ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς παῖδας αὐτοῦ καταλείψει. Ὅταν βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ θρό-

νου, οὐκ ἐναντιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶν πονηρόν. Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; κακολογοῦντος πατέρα ἢ μητέρα σβεσθήσεται λαμπτήρ, αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος. Μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις, ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται. Μὴ εἴπῃς· τίσομαι τὸν ἐχθρόν, ἀλλ᾽ ὑπόμεινον τόν Κύριον, ἵνα σοι βοηθήσῃ. Στάθμιον μέγα καὶ μικρὸν καὶ μέτρα δισσά, ἀκάθαρτα ἐνώπιον Κυρίου καὶ ἀμφότερα καὶ ὁ ποιῶν αὐτά. Ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ συμποδισθήσεται νεανίσκος μετὰ ὁσίου καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ. Οὖς ἀκούει καὶ ὀφθαλμὸς ὁρᾷ· Κυρίου ἔργα καὶ ἀμφότερα. Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς· διάνοιξον τούς ὀφθαλμούς σου καὶ ἐμπλήσθητι ἄρτων.

*Ἐκκλησιαστοῦ τὸ Ἀνάγνωσμα.*
*(Κεφ. ι´ 12-15 καὶ ια´. 1-6)*

Λόγοι στόματος σοφοῦ χάρις καὶ χείλη ἄφρονος καταποντιοῦσιν αὐτόν· ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη καὶ ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά, καὶ ὁ ἄφρων πληθύνει λόγους. Οὐκ ἔγνω ἄνθρωπος τί τὸ γενόμενον καὶ τί τὸ ἐσόμενον, ὅτι ὀπίσω αὐτοῦ, τίς ἀναγγελεῖ αὐτῷ; μόχθος τῶν ἀφρόνων κοπώσει αὐτούς, ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν. Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει ἡμερῶν εὑρήσεις αὐτόν· δὸς

μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ, ὅτι οὐ γινώσκεις τί ἔσται πονηρὸν ἐπὶ τὴν γῆν. Ἐὰν πλησθῶσι τὰ νέφη ὑετοῦ, ἐπὶ τὴν γῆν ἐκχέουσι· καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ καὶ ἐὰν ἐν τῷ βορρᾷ, τόπῳ, οὐ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσται. Τηρῶν ἄνεμον οὐ σπερεῖ, καὶ βλέπων ἐν ταῖς νεφέλαις οὐ θερίσει. Ἐν οἷς οὐκ ἔστι γινώσκων τίς ἡ ὁδὸς τοῦ πνεύματος, ὡς ὀστᾶ ἐν γαστρὶ κυοφορούσης, οὕτως οὐ γνώσῃ τὰ ποιήματα τοῦ Θεοῦ, ὅσα ποιήσει σὺν τὰ πάντα. Ἐν τῷ πρωῒ σπεῖρον τὸ σπέρμα σου καὶ εἰς ἑσπέραν μὴ ἀφέτω ἡ χείρ σου, ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει, ἢ τοῦτο ἢ τοῦτο, καὶ ἐὰν τὰ δύο ἐπὶ τὸ αὐτὸ ἀγαθά.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
*(Κεφ. ε΄. 15-στ΄. 3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσῃ τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς

ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ἰδιόμελα*

*Ἦχος α΄.*

Εὐφραινέσθω νῆσος Εὐρίπου,
ἐν ᾗ ὡς ῥόδον ἐξήνθησας,
ἐγκαυχωμένη τῇ πρὸς Θεὸν μεσιτείᾳ σου,
Ἰάκωβε ὅσιε·
σκληραγωγίᾳ γὰρ ἀόκνῳ
καὶ νυχθημέροις πόνοις σου
Θεῷ εὐηρέστησας
καὶ παρ᾽ Αὐτοῦ ἀξίως ἐδέξω τὸ ἀντιμίσθιον·
μεταστὰς οὖν τῶν τῇδε
πρὸς τὴν αἰώνιον μακαριότητα
μὴ ἐλλίπῃς πρεσβεύων τῷ σὲ κραταιώσαντι
ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος β΄.*

Ὡς πάλαι μοναστῶν τὰ συστήματα
πανταχόθεν προσήρχοντο κηδεῦσαι
Ἐφραὶμ τοῦ ὁσίου τὸ σκήνωμα,
οὕτω καὶ ἐπ' ἐσχάτων εὐσεβῶν οἱ δῆμοι
προσέδραμον ἐξόδια μέλψαι ἐγκώμια
ἐν τῇ σεπτῇ κοιμήσει σου, Ἰάκωβε ὅσιε·
διὸ καὶ πανήγυριν ἐδόκει ἄγειν
τὸ τοῦ ὁσίου Δαβὶδ σεμνεῖον
ἐν τῇ ἐξόδῳ σου ἐκ τῶν προσκαίρων,
νεόφωτον ἄστρον τῆς Ἐκκλησίας,
τὸ ἐξ Εὐβοίας καταυγάσαν ἀρετῶν ἀκτῖσι
τῶν Ὀρθοδόξων τὴν σεβασμίαν ὁμήγυριν·
μὴ παύσῃ οὖν οὐρανόθεν ἐποπτεύειν
τὴν μονὴν τῆς μετανοίας σου
καὶ συντηρεῖν ἀλωβήτους ἐκ τῶν βελῶν τοῦ ἀλάστορος
τοὺς καταστρέφοντάς σου τὴν πανίερον μνήμην
μελιχραῖς μελῳδίαις καὶ ᾄσμασιν,
ἀγγέλων καὶ ὁσίων συνόμιλε.

*Ἦχος γ΄.*

Εἰς τὸ δυσπρόσιτον σπήλαιον μεταβαίνων
τοῦ ὁσίου πατρὸς ἡμῶν Δαβὶδ
ὁλονύκτοις εὐχαῖς καθᾶραι τὸ πνεῦμά σου
σκότος καὶ ὁμίχλην εἰς οὐδὲν ἐλογίσω,
Ἰάκωβε θεσπέσιε·
διὸ καὶ ἄϋλον φῶς ἐξ οὐρανίου ἀστέρος
κατηύθυνε τὰ βήματά σου
διασκεδάζον ἀσελήνου χειμερίας νυκτὸς τὴν ζόφωσιν,

ἀσκητὰ τῆς Εὐβοίας θεοφιλέστατε·
καὶ νῦν τὸ ἄῤῥητον κάλλος τοῦ Θεοῦ
ὁρῶν ἰδίοις ὄμμασι
πρέσβευε Αὐτῷ δεόμεθα,
ἐκδιῶξαι τὴν ἀχλὺν τῆς ἁμαρτίας
ἐκ τῶν σπευδόντων ἑκάστοτε
ταῖς θερμαῖς ἱκεσίαις σου.

*Ἦχος δ΄.*

Τῶν ἀπ' αἰῶνος ὁσίων τοῖς ἴχνεσι βαδίσας
καὶ αὐτῶν τοὺς ἀσκητικοὺς καμάτους μιμησάμενος
ἐκμαγεῖον ἀρετῆς, Ἰάκωβε,
ἐν χρόνοις τοῖς ἐσχάτοις ἐδείχθης·
ἀρνησάμενος οὖν τὰ τερπνὰ τοῦ προσκαίρου βίου
ἐθεώθης κατὰ μέθεξιν,
καὶ ἀπέδειξας πᾶσιν, ὅτι Ἰησοῦς Χριστὸς
χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Τὸ νεοθαλὲς τῶν ἀσκητῶν κιννάμωμον,
Ἰάκωβον τὸν πνευματοφόρον,
ᾠδαῖς πνευματικαῖς, ἀδελφοί, καταστέψωμεν·
οὗτος γὰρ δαιμόνων τὰ στίφη,
τὰ ὡς σκορπίων πλήθη κατ' αὐτοῦ ἐπιδραμόντα
ἐπάταξεν οὐρανόθεν δυναμούμενος·
καὶ νῦν ἀμαράντινον στέφος δόξης ἀναδησάμενος
αἰτεῖται παρὰ Κυρίου πᾶσιν ἡμῖν
πταισμάτων τὴν συγχώρησιν.

Καὶ νῦν. *Τῆς Ἑορτῆς. (Ἐκ τοῦ Μηναίου)*

Σήμερον ὁ θεοχώρητος ναός...

*Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.*
*Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.*

Χαίροις, σκληραγωγίᾳ πολλῇ,
γονυκλισίᾳ, χαμευνίᾳ καὶ δάκρυσιν
ἀρτίως σαρκὸς ὀρέξεις
ὁ καταστείλας καλῶς
καὶ τὸν νοῦν πετάσας
πρὸς οὐράνιον,
Ἰάκωβε πάνσοφε,
ὕψος, ἔνθα ὁμήγυρις
ὁσίων πάντων
καὶ μαρτύρων ἀγάλλονται,
προσφιλέστατε,
οὓς ἀνύμνεις ἑκάστοτε·
πρέσβευε οὖν τῷ Κτίσαντι
ὑπὲρ τῶν τιμώντων σε
ὡς παῤῥησίαν κατέχων
ἀσκητικήν, ἐγκαλλώπισμα
Εὐβοίας καὶ λύχνε
Ἐκκλησίας τῆς ἁγίας
ἡμῶν νεόφωτε.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, ὑπακοῆς ὁ κανών,
ὑπομονῆς καὶ ἀκτησίας τὸ μάργαρον,
ὁ σάπφειρος ἀγρυπνίας,

ἀοργησίας εἰκών,
πόλος ὁ ἑλκύων
πάντα στένοντα,
ἀγάπης ὑπόδειγμα,
συμπαθείας διάκοσμε,
ἀδιαλείπτου
προσευχῆς ὑποτύπωσις
καὶ πραότητος
θεοβράβευτον κείμενον·
ἔνθεε καθηγούμενε,
μονῆς σεμνολόγημα
Δαβὶδ τοῦ Γέροντος, πάτερ,
σημειοφόρε Ἰάκωβε,
Χριστὸν ἐκδυσώπει,
παρασχεῖν τοῖς σὲ τιμῶσι
τὸ μέγα ἔλεος.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις, ὁ συμπαθὴς καὶ ἁπλοῦς,
ὁ γεγονὼς σοφίας κόσμου ἀμέτοχος,
ἀλλὰ τῆς Θεοῦ σοφίας
ἀναδειχθεὶς ποταμὸς
χρυσοῤῥόας ὄντως
καὶ ἀκένωτος
πηγή, χριστομίμητε,
χαρισμάτων τοῦ Πνεύματος,
σοὶ προσιοῦσιν
εὐλαβῶς ἡ ἐκβλύζουσα
συγκατάβασιν,

κουφισμὸν καὶ ἀνάπαυσιν·
ἄρτι ὁσίων πρόβολε,
παμμάκαρ Ἰάκωβε,
ὡς χρυσολόγος τὰς θλίψεις
τῶν ἐν δεινοῖς ἀπεδίωκες
καὶ πάντας ἀφάτου
χαρμονῆς ἐπλήρους, πάτερ,
τοὺς προσιόντας σοι.

*Δόξα. Ἦχος β΄.*

Τίς ἀξίως ὑμνήσει σου
τῆς ἐναρέτου πολιτείας τὰς ἀναβάσεις,
Ἰάκωβε, πάτερ ἀγγελόμορφε;
Τῶν γεηρῶν γὰρ παριδὼν πᾶσαν σχέσιν
τὴν ψυχὴν ἐπτέρωσας πρὸς Κύριον
καὶ ὡς ἀσώματος ἐπολιτεύσω·
σταυρώσας οὖν τὴν σάρκα
σὺν ταῖς ἐπιθυμίαις
σύμφυτος γέγονας, θεόφρον,
τῇ παναῤῥήτῳ τοῦ Κυρίου δόξῃ·
αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ὅσιε,
ταῖς εὐπροσδέκτοις σου πρεσβείαις,
πρὸς ὃν ἐκ μυχίων καρδίας ἠγάπησας.

*Καὶ νῦν. Τῆς Ἑορτῆς. (Ἐκ τοῦ Μηναίου).*

Σήμερον ὁ ναὸς ὁ ἔμψυχος
τοῦ μεγάλου Βασιλέως...

www.tezaurliturgic.ro

*Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Διοράσεως ἔκτυπον καὶ σεμνότητος,
μονῆς Δαβὶδ τοῦ ὁσίου,
θαυματουργέ, προεστώς,
ὁ ἀρότρῳ γεωργήσας τῆς ἀγάπης σου
κεχερσωμένας τοῦ λαοῦ,
θεοφόρητε, ψυχάς,
Ἰάκωβε πάτερ, ἄρτι,
μὴ ἐλλίπῃς Χριστῷ πρεσβεύων
ὑπὲρ ἡμῶν τῶν σὲ καλούντων πιστῶς.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον...

*Ἀπόλυσις.*

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον,
ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ,
μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

*Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.*

Ἀστὴρ νεολαμπὴς
διοράσεως ὤφθης,
ἀσκήσεως βολαῖς
διαλάμπων τῷ κόσμῳ,
Ἰάκωβε πανόλβιε,
τῆς Εὐβοίας ἐκπύρσευμα
καὶ ἁπλότητος
τῆς ἐν Χριστῷ θεῖον σέλας·
ὅθεν σήμερον
σὲ ἀνυμνοῦντες εὐχῶν σου
φωτὶ αὐγαζόμεθα.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ὁ πάνσεπτος ναὸς
τοῦ Σωτῆρος Κυρίου,
Μαρία ἡ ἁγνή,

εἰς ναὸν μετὰ δόξης
Σιὼν τὸν πανάγιον
τριετὲς ὡς κοράσιον
δοξαζόμενον
ὑπὸ χορείας ἀγγέλων
νῦν εἰσάγεται
ἀνατραφῆναι Κυρίῳ·
λαοί, ἐπαγάλλεσθαι.

*Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.*
*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Λυγαῖς ἐλλαμπόμενος
τοῦ Παρακλήτου, σεμνέ,
Ἰάκωβε ὅσιε,
ὅλος αὔλου φωτὸς
δοχεῖον γεγένησαι·
λάμπων οὖν ἀρετῶν σου
φαιδροτάταις ἀκτῖσιν
ἤλασας δυσθυμίαν
τῶν εἰς σὲ προσιόντων
καὶ ὤφθης συμπαθείας λαμπτὴρ
φαίνων τοῖς σύμπασι.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Τὴν εἴσοδον σήμερον
ἐν τῷ ναῷ τοῦ Θεοῦ
πιστῶς ἑορτάζοντες
τῆς Θεοτόκου ἁγνῆς

τιμῶμεν τὴν ἔξοδον
βίου ἐκ τῶν προσκαίρων
Ἰακώβου τοῦ νέου
πόθῳ ἀναβοῶντες·
τριετίζουσα Κόρη,
λιταῖς τοῦ σοῦ ὁσίου ἡμᾶς
σῷζε ἐκ θλίψεων.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα.*
*Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐμφρόνως ἔφυγες μερίμνας βίου σου τὰς δεσμευούσας σε πρὸς γῆν, Ἰάκωβε, καὶ πτέρυγάς σου τῆς ψυχῆς ἐπέτασας πρὸς τὰ ὕψη οὐρανῶν καὶ ἔδραμες ὑπαντῆσαι τῷ Κτίσαντι δι' εὐχῆς ἀόκνου σου καὶ συντόνου ἀσκήσεως· διόπερ διοράσεως ὤφθης σκεῦος καὶ ποταμὸς χαρίτων.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Τὴν σκοτισθεῖσαν μου ψυχὴν καταύγασον φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

*Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

*Εὐαγγέλιον Ὁσιακόν.*

*Ὁ Ν΄ Ψαλμός.*

*Δόξα.* Ταῖς τοῦ σοῦ Ὁσίου προσεβείαις. Ἐλεῆμον...

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου πρεσβείαις. Ἐλεῆμον...

*Ἰδιόμελον. Ἦχος πλ. β΄.*

Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Πανόλβιε πάτερ,
τὸν Σταυρὸν τοῦ Κυρίου
παιδιόθεν ἐπ᾿ ὤμων ἀράμενος
τοῖς ἴχνεσι τοῦ Χριστοῦ ἠκολούθησας
ἐμπαιζόμενος καὶ λοιδορούμενος·
σὺ γὰρ ὡς δοῦλος πειθήνιος τοῦ Βασιλέως τῆς δόξης
τὰς ἐντολὰς Αὐτοῦ ἐτήρησας
καὶ ὅλος φωτοειδὴς γέγονας
καὶ κληρονόμος τῆς βασιλείας·
αὐτῆς καὶ ἡμᾶς ἀξίωσον,
τοὺς ῥαίνοντάς σε μελιχρῶν ὕμνων ἄνθεσιν,
Εὐβοίας ἀσκητὰ μειλίχιε καὶ πρᾶε,
ταῖς πρὸς Θεὸν ἀπαύστοις σου ἐντεύξεσι.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

*Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·*

«Ἰάκωβον ἁπλοῦν ἐξυμνῶν ἀρετὴν ἐπαινῶ. Χ.»

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἰάκωβον λάμψαντα
ἀρτίως ἄστρον ὡς πάμφωτον,
φαιδρῦνον πυρσεύμασιν
ἀσκητικῆς ἀγωγῆς
καὶ σεμνότητος
τὴν Ἐκκλησίαν, Σῶτερ,
ὑμνῆσαι ἱκάνωσον
δοῦλόν σου δύστηνον.

Ἀνέθηλας, ὅσιε,
ἐν Λιβισίῳ ἡδύτατος
καθάπερ ἡδύοσμος
ἀγάπης ἄκρας Χριστοῦ
καὶ τὴν Εὔβοιαν
οὐ μόνον, ἀλλὰ πᾶσαν
Ἑλλάδα κατηύφρανας
μύροις τῶν λόγων σου.

Κοσμεῖν σε ἠξίωσε
τὸ νοητὸν νῦν στερέωμα,
Ἰάκωβε, Κύριος,
ἐπὶ τῆς γῆς τὸν ἐχθρὸν
ὁ κρατύνας σε
τὸν δόλιον παλαῖσαι
καὶ νίκης σε στέφανον
ἀναδησάμενος.

Ὡς λύχνον φρονήσεως
ἐπὶ λυχνίαν ἐπέθηκεν

ἀείφωτον Κύριος
καὶ Φωτοδότης Χριστός,
ἵνα πέρατα
φωτίσῃς ταῖς ἀκτῖσι
τῶν χριστομιμήτων σου
πόνων, Ἰάκωβε.

*Θεοτοκίον.*

Βυθοῦ με ἀνάγαγε
τῆς ἀπωλείας, Μητρόθεε,
κραυγάζω, πρεσβείαις σου
πρὸς τὸν Σωτῆρα Χριστόν,
Ὃν συνέλαβες
ἀῤῥεύστως καὶ Ὃν ἄρτι
ὁ θεῖος Ἰάκωβος
λίαν ἠγάπησε.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Ὀμίχλην ἐσκέδασας πενίας
προσφύγων ἁπλότητι τῶν σῶν
τοῦ βίου τρόπων, ὅσιε,
καὶ τοῦ νοὸς πρὸς Κύριον
καὶ Λυτρωτήν, Ἰάκωβε,
τοῦ θεαυγοῦς προσηλώσει σου.

Ναὸν θείου Πνεύματος ποιήσας
σαυτὸν καθ᾽ ἑκάστην ἀκλινῶς
ἐδόξαζες τὸν Κύριον
καὶ τοὺς ὁσίους ἅπαντας

www.tezaurliturgic.ro

ἀνέμελπες μιμούμενος
αὐτῶν τὸν βίον, Ἰάκωβε.

Ἁγίων τοῖς ἴχνεσι βαδίσας
ἐκ βρέφους, Ἰάκωβε σοφέ,
ἐν τῇ Φαράκλᾳ ἔπιθες
τοὺς σὲ καλῶς γινώσκοντας
βοᾶν σοι· Χαῖρε, πάγχρυσον
χαρίτων θείων κυάθιον.

*Θεοτοκίον.*

Πανάμωμε Μῆτερ τοῦ Ὑψίστου,
ἐν σοὶ τὰς ἐλπίδας ἀληθῶς
μετὰ Χριστὸν ἀπέθετο
ὁ εὐλαβὴς Ἰάκωβος,
ὁ φέρων ἐν τοῖς χείλεσιν
αὐτοῦ ἀεὶ τὸ σὸν ὄνομα.

*Κάθισμα.*
*Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.*

Χελιδόφωνον λύραν ὑπακοῆς,
ἀηδόνα γλυκύλαλον ἀρετῆς
καὶ εὔηχον σάλπιγγα
ἐν Χριστῷ ταπεινώσεως
τιμήσωμεν προφρόνως,
Ἰάκωβον ὅσιον,
τὸν ἐν ἐσχάτοις χρόνοις
πιστοὺς καθηδύναντα
φθέγμασι μελιῤῥύτοις,

ἀληθεῖ συμπαθείᾳ,
ἀγάπῃ πρὸς κάμνοντας,
τρυχομένους καὶ στένοντας
καθ᾽ ἑκάστην ἐν θλίψεσι,
πρόφθασον, βοῶντες, αὐτῷ
βοηθῆσαι, σέμνωμα περίδοξον
Εὐβοέων, τοῖς πίστει
ἀεί σε γεραίρουσι.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Θεοτοκίον.*

Εἰς ναὸν παραδίδωσι τοῦ Θεοῦ
ὁ σεπτὸς θεοπάτωρ Ἰωακεὶμ
σὺν Ἄννῃ τῇ σώφρονι,
τῇ πελούσῃ ἀτέκνῳ πρίν,
αὐτοῦ τὸ τριετίζον
κοράσιον σήμερον,
Μαρίαν τὴν παρθένον,
ἀγγέλων τὴν σύναυλον·
ὅθεν ἐν κατανύξει
ὡς ἐκλόγιον Κτίστου
αὐτὴν μακαρίζοντες
καὶ παρθένων ἀρχέτυπον
δόξαν πέμπομεν ἅπαντες
τῷ Υἱῷ αὐτῆς καὶ Θεῷ
τῷ προστάτην νέον ἀναδείξαντι
εὐσεβούντων τοῖς δήμοις
τὸν θεῖον Ἰάκωβον.

*Ὠδὴ δʹ. Ὁ καθήμενος ἐν δόξῃ.*

Λέμβον ἔχων σωτηρίας
ἐν ταῖς ζάλαις, Ἰάκωβε,
τῷ Χριστῷ προσηύχου
πέμψαι σοι τὸ πλούσιον ἔλεος
Αὐτοῦ καὶ δίνην παθῶν κοπάσαι τάχιστα,
πνευματέμφορε,
καὶ τρικυμίαν τῶν θλίψεων.

Ὄρθρον ἔγνωμέν σε, πάντες,
φαεινὸν πρὸς τοὺς πάσχοντας
συμπαθείας, πάτερ,
ὅτι ἐκ νεότητος ἔδωκας
ὑπὲρ ἀγάπης τῶν πέλας τὴν ἰκμάδα σου
καὶ τὴν ἔφεσιν
τὴν ὁλικὴν τῆς καρδίας σου.

Ὑψιπέτης ἀνεδείχθης
ἀετὸς ταπεινώσεως
ἐν τοῖς χρόνοις, πάτερ,
τῆς νεανικῆς ἡλικίας σου·
οὐ γὰρ ᾐσχύνου γυμνόπους ψάλλειν Κτίσαντι
ἐν τῷ βήματι
ναοῦ σεπτοῦ τοῦ χωρίου σου.

*Θεοτοκίον.*

Νικητὰς ἀναφανῆναι
ἐν τοῖς βίου παλαίσμασι,
Κεχαριτωμένη,
Ξενιὰ Παρθένε, ἀξίωσον

τοὺς σοὺς ἱκέτας ἡ πόδας θεραπεύσασα
τῇ σῇ χάριτι
τοῦ Ἰακώβου τιμῶντός σε.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ἐξέστη τὰ σύμπαντα
ἐπὶ τῇ πολιτείᾳ σου
τῇ ἀσκητικῇ καὶ τοῖς σοῖς ἔργοις
τῆς εὐποιΐας,
θαυματουργὲ προεστὼς
τῆς μάνδρας τοῦ ἔμφρονος Δαβίδ,
προσευχῆς, Ἰάκωβε,
θεοσμίλευτον ἄγαλμα.

Ξενίζειν, Ἰάκωβε,
τοὺς ξένους καὶ τοὺς στένοντας
ἄχθει ζοφερῷ τοῦ βίου, πάτερ,
ᾔδεις καὶ λύειν
αὐτῶν τῆς λύπης ἀχλὺν
σοῖς ῥήμασιν ὄντως τοῖς σοφοῖς,
τοῖς ἐκ τῶν χειλέων σου
ὥσπερ μέλι ἐκρέουσιν.

Ὑψαύχενα δράκοντα
ἐπάτησας, Ἰάκωβε,
τὸν ζητοῦντά σε κατασπαράξαι
σῇ ταπεινώσει
καὶ νοερᾷ προσευχῇ·
διὸ καὶ ἀστέρα παμφαῆ
ἔσχες οὐρανόσταλτον
ἐν νυκτὶ ὁδοδείκτην σου.

*Θεοτοκίον.*

Μητράνανδρε Δέσποινα,
ἐν τῇ τῶν Εἰσοδίων σου
ἑορτῇ ἀνῆλθεν ἑορτάσαι
τὴν ἐν τῷ πόλῳ
τῶν εἰσοδίων αὐτοῦ
πανήγυριν τῶν νεοφανῶν
ἀσκητῶν ὁ ἄριστος
ἱκετῶν σου Ἰάκωβος.

*ᾨδὴ στʹ. Τὴν θείαν ταύτην.*

Νυκτὸς ἐν ὥρᾳ, Ἰάκωβε,
πρωΐας, μεσημβρίας καὶ πάντοτε
ᾔνεις τὸν Κύριον
καὶ τοῦ ἐχθροῦ τὰ τεχνάσματα
ἱστὸν ὡσεὶ ἀράχνης
κατεσυνέτριβες.

Ὡς κῆπον χάριτος ἔμπλεων,
Ἰάκωβε, Δαβὶδ λογιζόμενος
τοῦ θείου σπήλαιον
ἐν ταῖς νυξὶ χαίρων ἔτρεχες
πρὸς τοῦτο δρέψαι ῥόδα
εὐχῆς ἡδύπνευστα.

Νῦν πάντες ὕμνοις σε στέφομεν,
Δαβίδ τε Ἰωάννου ὁμόζηλον
καὶ καλλιμάρτυρος
Παρασκευῆς, οὓς συλλήπτορας

www.tezaurliturgic.ro

θερμοὺς ἐν βίῳ ἔσχες,
σεμνὲ Ἰάκωβε.

*Θεοτοκίον.*

Ἁγνή, τὴν θείαν σου εἴσοδον
Θεοῦ ἐν τῷ ναῷ ἑορτάζοντες
πανηγυρίζομεν
ἐκ τῶν προσκαίρων τὴν ἔξοδον
τοῦ θείου Ἰακώβου
πρὸς τὰ αἰώνια.

*Κοντάκιον.*
*Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τοῦ θείου Πνεύματος ἡ χάρις ἐνοικήσασα
ἐν σῇ καρδίᾳ ἐναρέτου βίου ἔδειξε
καὶ σοφίας σε δοχεῖον τῆς οὐρανίου,
ἀσκητὰ Εὐβοίας σῶφρον καὶ θεόσδοτε,
ἰατρὲ δεινῶς νοσούντων ἑτοιμότατε·
ὅθεν κράζομεν· Χαίροις, μάκαρ Ἰάκωβε.

*Ὁ Οἶκος.*

Ἄγγελος συμπαθείας
καὶ ἀγάπης πρὸς πάντας,
Ἰάκωβε, ἀρτίως ἐπώφθης·
προσελκύσας γὰρ χάριν Χριστοῦ
δι᾽ ἀόκνων πόνων καὶ εὐχῆς, ὅσιε,
ἐγένου τῶν τιμώντων σε
προστάτης τῶν πιστῶς βοώντων·
Χαῖρε, λαμπτὴρ πολιτείας θείας·

χαῖρε, κρατὴρ θεϊκῆς σοφίας.

Χαῖρε, ἀγωγῆς θεαρέστου κρηπίδωμα·
χαῖρε, ἀρετῆς ψυχοτρόφου τὸ σκήνωμα.

Χαῖρε, ὕψος διοράσεως καὶ ἁπλότητος κανών·
χαῖρε, βάθος ταπεινώσεως καὶ συνέσεως λειμών.

Χαῖρε, ὅτι αὐγάζεις τῆς Εὐβοίας τὰ πλάτη·
χαῖρε, ὅτι λαμπρύνεις τῶν ὁσίων τὰ σμήνη.

Χαῖρε, μονῆς Δαβὶδ θείου καύχημα·
χαῖρε, παγὶς τοῦ πλάνου καὶ σύντριμμα.

Χαῖρε, λαμπὰς χρυσαυγὴς ἀπαθείας·
χαῖρε, ὁλκὰς μυστικὴ εὐσεβείας·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

*Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΚΒ΄ Νοεμβρίου. Εἶτα λέγομεν·*

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰακώβου τοῦ νέου ἀσκητοῦ, ἡγουμένου τῆς μονῆς τοῦ ὁσίου Δαβίδ, τοῦ ἐν Εὐβοίᾳ, τοῦ θαυματουργοῦ.

Στίχοι.
Δαβίδ, Ἰάκωβε, ζηλώσας καμάτους,
αὐτοῦ τὴν μάνδραν ἐποίμανας ἐνθέως.

Ἐν χρόνοις ἐσχάτοις ἁπλότητος κέρας
καὶ Χριστοῦ ἀγάπης, Ἰάκωβε, ὤφθης.

*Συναξάριον.*

Ὁ ἐν ὁσίοις πατὴρ ἡμῶν Ἰάκωβος, ὁ νέος ἀσκητής, ὁ ἐν τῇ μονῇ τοῦ ὁσίου Δαβὶδ ἐν τῇ Εὐβοίᾳ θεοφιλῶς ἀσκήσας, ὑπῆρξε γόνος ἁπλῶν καὶ εὐσεβῶν γονέων. Ἐν Λιβισίῳ τῆς Μάκρης τῆς Μικρᾶς Ἀσίας εἶδε τὸ φῶς τοῦ ἡλίου ἐν ἔτει σωτηρίῳ 1920. Διετὲς ὅμως νήπιον ἠναγκάσθη μετὰ τῆς αὐτοῦ οἰκογενείας καταλιπεῖν τὰ πάτρια ἐδάφη καὶ ἀκολουθῆσαι ταῖς δυσβάτοις ὁδοῖς τῶν προσφύγων. Μετὰ πολυχρονίους περιπετείας ἐγκατεστάθη εἰς Φαράκλαν τῆς Βορείου Εὐβοίας, ἔνθα βίον ἤνυεν ἡσύχιον καὶ θεοτερπῆ. Διεκρίνετο μεταξὺ τῶν ὁμηλίκων αὐτοῦ διὰ τὴν εὐσέβειαν, σύνεσιν καὶ ἀπύθμενον ἀγάπην πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τοὺς Αὐτοῦ ὁσίους καὶ μάρτυρας. Αἱ βιοτικαὶ ἀνάγκαι καὶ ἡ ἔνδεια τῆς αὐτοῦ οἰκογενείας ἐστέρησαν τὸν Ἰάκωβον τῆς θύραθεν παιδείας καὶ ἐπιστήμης, πλὴν ὅμως ἡ τὰ ἐλλείποντα ἀναπληροῦσα χάρις τοῦ παναγίου Πνεύματος δαψιλῶς ἐπροίκισεν αὐτὸν διὰ θεϊκῆς σοφίας καὶ γνώσεως. Ἐγκατασταθεὶς εἰς τὴν μονὴν τοῦ ὁσίου Δαβὶδ καὶ ἀσκήσας ἐκεῖσε τεσσαράκοντα συναπτοὺς ἐνιαυτοὺς ἀνεδείχθη πρότυπον ταπεινώσεως, ἀδιαλείπτου προσευχῆς καὶ ξενίας πρὸς ἅπαντας. Διηκόνει περίχαρις καθ' ἑκάστην τοὺς πατέρας τῆς Μονῆς καὶ ἠγρύπνει προσευχόμενος τὴν νύκτα εἰς τὸ δυσπρόσιτον σπήλαιον τοῦ Ὁσίου Δαβίδ. Διετέλεσεν ἡγούμενος τῆς μάνδρας τῆς

αὐτοῦ μετανοίας ἐπὶ ἓξ καὶ δέκα ἔτη, ἀνέδειξε δὲ ταύτην φάρον τηλαυγῆ ψυχικῆς ἀναπαύσεως καὶ ξενοτρόπων θαυμασίων προσελκύσας ἱκανὸν ἀριθμὸν μοναστῶν καὶ ἄπειρον πλῆθος προσκυνητῶν ἐκζητούντων τὰς αὐτοῦ συμβουλὰς καὶ πρεσβείας πρὸς Κύριον. Διὰ τὴν ἀσκητικὴν αὐτοῦ ἀγωγὴν ἐχαριτώθη πλουσίως καὶ ἠξιώθη προορᾶν τὰ ἐσόμενα. Στῦλος φωτοειδὴς γενόμενος ἀρετῶν κατηύγασε τὴν ζοφερὰν καὶ ἐσκοτισμένην γενεὰν ἡμῶν διὰ τῶν χρυσαυγῶν ἀκτίνων τῶν αὐτοῦ λόγων καὶ ἔργων εὐποιΐας. Ἐξεμέτρησεν ἡσύχως τὸ ζῆν τὴν 21ην Νοεμβρίου τοῦ ἔτους 1991 καὶ ἡ ἐξόδιος αὐτοῦ ἀκολουθία ἐγένετο ἐν ὑπαίθρῳ ἕνεκα τοῦ πλήθους τῶν προστρεξάντων εὐσεβῶν φωνούντων ἀπαύστως· Ἅγιος, Ἅγιος, Ἅγιος! Καὶ ζῶν καὶ μετὰ πότμον ποταμὸς ἐδείχθη πολυχεύμων ἰάσεων καὶ παραδόξων θαυμάτων· διὸ καὶ θαυματουργὸς ἐπωνομάσθη.

Ταῖς αὐτοῦ ἁγίαις πρσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Ρ ̔ητορεύουσα
οὐ σθένει γλῶσσα βρότειος
τὴν παῤῥησίαν σου
τὴν πρὸς θεόπνουν Δαβὶδ
κηρῦξαι, Ἰάκωβε,
δι᾽ ἧς ἐπέτασσες
ἐν ἁπλότητι

αὐτὸν τῶν προσιόντων σοι
τὴν πληθὺν βασάνων λῦσαι.

Ἐπεσκίασεν
ἡ χάρις σου, Ἰάκωβε,
καὶ τοῦ ἐλέους σου
νεφέλη πᾶσαν τὴν γῆν
ἡ ὄντως ἀείφωτος·
σὺ γὰρ ἐσκόρπισας
καὶ τοῖς κάμνουσι
καὶ πενομένοις ἔδωκας
ἐκ τοῦ πλούτου σῆς καρδίας.

Τεῖχος πίστεως
ἀκράδαντον, Ἰάκωβε,
πρὸς ὅλους ἔλεγες·
ἡγουμενεῖα λαμπρὰ
δομῆσαι καὶ κτίρια
περικαλλέστατα
οὐκ ἐζήλωσα,
ἀλλὰ ζωὴν ἐπόθησα
ἐκ νεότητος τὴν ἄνω.

*Θεοτοκίον.*

Ἡ μελίῤῥυτος
τοῦ Ἰακώβου, Πάναγνε,
φωνὴ ἑκάστοτε
σῶν θαυμασίων πληθὺν
ἀνύμνει, Θεόνυμφε,
καὶ μακαρίζουσα

σὲ τὸν πάνσεπτον
Υἱόν σου, τὸν δεσπόζοντα
πάσης κτίσεως, ηὐλόγει.

Ὠδὴ η΄. *Παῖδας εὐαγεῖς.*

Νέκταρ ἀμβροσίας οὐρανίου
σταλάζων ἐν ταῖς καρδίαις τῶν προσφύγων σου
ἅπαντας ἐμέθυσκες
χαρμονῆς, Ἰάκωβε,
καὶ πρὸς λειμῶνας ἴθυνες
αὐτοὺς λαμπρότητος
τῆς ἄνω, ἔνθα σμήνη ἀγγέλων
τὸν σεπτὸν κυκλοῦσι
τοῦ Ζωοδότου θρόνον.

Ἔχων ἐκ Θεοῦ ἰσχὺν πολλάκις
ἐξέβαλλες δαιμονίων πλῆθος ἄμετρον
ἐκ τῶν προσιόντων σοι,
προσευχῆς ἀρχέτυπον
καὶ ἀσιτίας μάργαρον,
κλεινὲ Ἰάκωβε·
διὸ καὶ ὑπὸ τούτων ἀπαύστως
καθυβρίζου, πάτερ,
Εὐβοίας ἀντιλῆπτορ.

Πόνων ὀλετὴρ ὑπῆρξες πάντων
καὶ τέκνα ταῖς σαῖς εὐχαῖς ἀτέκνοις ἔδωκας,
ἀσθενεῖς ἰάτρευσας
καὶ πτωχοὺς ἐχόρτασας,

Ἰάκωβε μακάριε,
σεμνὲ ἡγούμενε
τῆς μάνδρας τοῦ Δαβὶδ τοῦ ὁσίου,
τοῦ ἐν τῇ Εὐβοίᾳ
ἀσκήσαντος τῇ νήσῳ.

*Θεοτοκίον.*

Αἴγλῃ ἐκθαμβούμενος τῇ θείᾳ
χαρίτων τῶν σῶν, Παρθένε παναμώμητε,
ὥσπερ τριετίζουσαν
δάμαλιν ἀνύμνει σε
ὁ πολιὸς Ἰάκωβος
πρὸ τῆς κοιμήσεως
αὐτοῦ τῆς πανοσίας εἰς οἶκον
τοῦ Θεοῦ ὡς δῶρον
σεμνῶς προσαγομένην.

*Ὠδὴ θ΄. Ἅπας γηγενής.*

Ἴχνεσι Χριστοῦ,
Ἰάκωβε ὅσιε,
κατηκολούθησας
καὶ ἀλείπτης ἄριστος
πρὸς σωτηρίαν πολλῶν γενόμενος
ἀπῆλθες πρὸς σκηνώματα
Θεοῦ γηθόμενος,
ἀναμέλπων
σὲ τὸν δυναμώσαντα
ἀσιγήτως Δεσπότην τῆς Κτίσεως.

www.tezaurliturgic.ro

Νάρδε μυστικὴ
Χριστοῦ ἀγαπήσεως
καὶ βίου κρείττονος,
ἅπαντα κατηύφρανες
τῆς πολιτείας
ὀσμαῖς τῆς θείας σου
τὸν μοναζόντων σύλλογον,
οἰακοστρόφον σε
πρὸς λιμένα
εὔδιον τὸν ἔχοντα
ἐν τῇ μάνδρᾳ Δαβὶδ τοῦ θεόφρονος.

Ὡς Χριστοῦ πιστὸς
θεράπων καὶ γνήσιος
Αὐτοῦ, Ἰάκωβε,
φίλος, καθικέτευε
Αὐτὸν ἀπαύστως
τὸν σὲ δοξάσαντα
διδόναι μοι μετάνοιαν
καὶ ἀποπλύνειν μου
βορβορῶδες
τῆς ψυχῆς ἱμάτιον,
ἵνα ὕμνοις φαιδροῖς μεγαλύνω σε.

*Θεοτοκίον.*

Χεῖρά μοι ταχὺ
παράσχου, Πανάμωμε,
τῶν σῶν ἐντεύξεων,
ἵνα τὸν ἀνίατον
καταπραΰνω

παθῶν μου τάραχον
καὶ ἀνυμνῶ ἠρέμως σε
τὴν μόνην ἄσπιλον,
ἣν ὁ νέος
ἀσκητὴς Ἰάκωβος
ἐν τῷ βίῳ κατέσχεν ἀκέστορα.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Φωταγωγεῖς τὰ σύμπαντα
ἀκτῖσιν ὁσιότητος
καὶ βιοτῆς ἐναρέτου
ὡς ἀπλανὴς ἑωσφόρος,
Ἰάκωβε, ἡγούμενε
Δαβὶδ μονῆς τοῦ Γέροντος,
καὶ τῶν ἀεὶ τιμώντων σε
ψυχὰς λαμπρύνεις βολίσι
τῶν σῶν ἀπείρων χαρίτων.

*Θεοτοκίον.*

Ἡ στεῖρα νῦν ἀγάλλεται
τὴν τριετῆ εἰσάγουσα
αὐτῆς ἐν οἴκῳ Κυρίου
σεμνοπρεπῶς θυγατέρα
καὶ ὁ πρεσβύτης χαίρεται
Ἰωακεὶμ καὶ γάνυται
τὴν Παναγίαν Δέσποιναν
ὡς ὁλοκάρπωμα θεῖον
Θεῷ τῷ ζῶντι προσφέρων.

*Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·*

*Ἦχος πλ. δ΄* Τὶ ὑμᾶς καλέσωμεν, Ἅγιοι.

Τί σε ὀνομάσω, Ἰάκωβε;
Ταπεινώσεως κινύραν,
ἀγαθότητος αὐλόν,
παναρμόνιον τῷ ὄντι
ἅρπαν πίστεως Χριστοῦ,
κιθάραν
διοράσεως γλυκύφθογγον,
ἀγάπης
πρὸς τοὺς πάσχοντας ψαλτήριον,
σαμβύκην νήψεως πάγχρυσον
καὶ ὁσιότητος σάλπιγγα;
Ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω, Ἰάκωβε;
Τοῦ Δαβὶδ τοῦ θεοφόρου
τῶν καμάτων μιμητὴν
καὶ αὐτοῦ τῆς μάνδρας νέον
καθηγούμενον σεπτόν,
ὡς ἄστρον
ἐν ἐσχάτοις ἀπλανέστατον
τοῖς χρόνοις τὸν ἐκλάμποντα χρηστότητι,
τῆς ἀκακίας νεόφωτον
φανὸν καὶ φάρον ἁπλότητος;
Ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω, Ἰάκωβε;
Ὀλετῆρα νοσημάτων
καὶ παθῶν τοῦ σκοτασμοῦ,
πληρωτὴν τῶν τοῦ Σωτῆρος
καὶ Δεσπότου ἐντολῶν,
ἐργάτην
ἀρετῆς περιφανέστατον
ἐπόπτην οὐρανίου ἀφθαρτότητος,
τῆς ἐγκρατείας διδάσκαλον
καὶ ἀπαθείας κοσμήτορα;
Ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω, Ἰάκωβε;
Προσευχῆς σημαιοφόρον,
ἀσιτίας τιμητήν,
τῆς ἁπλότητος πυξίον,
ἡσυχίας ἐραστήν,
σοφίαν
Παρακλήτου τὸν δεξάμενον,
πτωχείαν ἀρετῶν τὸν βδελυξάμενον;
σὺ οὖν ὡς μύστης τῆς χάριτος
καὶ χαρμονῆς θείας ἔμπλεως
ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος β´.*

Τὰς ἐνύλους διαγωγὰς παραδραμών, ὅσιε,
γαληνότατον ὅρμον εὗρες
τὴν τοῦ ὁσίου Δαβὶδ μάνδραν,
Ἰάκωβε, ἀσκητῶν τῶν πάλαι ὁμόζηλε·
σὺ γὰρ ἐκεῖσε διατρίβων ἐν ὁσιότητι

καὶ πόλος ἀναψυχῆς γενόμενος
δεινῶς χειμαζομένων
ἀπῆλθες κοινωνῆσαι χαρᾶς τῆς οὐρανίου·
Θεὸν οὖν τὸν τρισυπόστατον νῦν ἐποπτεύων
καὶ σὺν ἀγγέλοις καὶ ὁσίων χοροῖς ἀγαλλόμενος
πρέσβευε ὑπὲρ τῶν τιμώντων
τὴν πανσέβαστον μνήμην σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Σήμερον τῷ ναῷ προσάγεται...

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*



# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

*Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ ἡ στ΄. ᾠδή.*

*Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ὁσίου Σάββα.*

*Ἀπόστολος πρὸς Γαλάτας (Κεφ. ε΄ 22 - στ΄ 2).*

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη,..

*(Ὁ τῆς Ε΄ Δεκεμβρίου)*

*Εὐαγγέλιον κατὰ Ματθαῖον (Κεφ. ια΄ 27-30).*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου...

*(Τὸ τῆς Λειτουργίας τῆς Ε΄ Δεκεμβρίου)*

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.*

*Μεγαλυνάριον.*

Χαίροις, ὁ ἐκλάμψας ἀρτιφανῶς
ἀρετῶν ἀκτῖσιν
ἐν Εὐβοίᾳ καὶ τὴν μονὴν
τοῦ Δαβὶδ τοῦ θείου
ποιμάνας θεαρέστως,
Ἰάκωβε, πυξίον
χάριτος ἔμπλεον.

Δίστιχον.

Δέξαι, Ἰάκωβε, ὃ νῦν Χαραλάμπης,
μέλισμα ἐξύφηνε τῶν ἀρετῶν σου.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ ΠΝΕΥΜΑΤΟΦΟΡΟ
## ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
## ΤΟΝ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΑ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ ΠΝΕΥΜΑΤΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
## ΤΟΝ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΑ

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῶν ἀρετῶν τὴν θεοτύπωτον βίβλον
καὶ ἀγωγῆς ἀσκητικῆς τὸν κανόνα,
τὸν τῆς μονῆς ἡγούμενον Δαβὶδ τοῦ σεπτοῦ,
ἔνθεον Ἰάκωβον, καταστέψωμεν ὕμνοις
καὶ αὐτῷ βοήσωμεν· τοῖς ἱκέταις σου πέμψον
ὑψόθεν δόσεις θείων ἀρετῶν
καὶ συμπαθείας τῆς σῆς ὄμβρον ἅπασι.

*Δόξα. Τὸ αὐτό.*

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,

τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·
«Ἰάκωβε, προστάτης μου πέλεις ἔνθερμος. Χ.»

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἰάκωβε, ὅσιε ἀσκητά,
νεόφωτον ἄστρον
στερεώματος νοητοῦ
τῆς πίστεως, φώτισον ἀκτῖσι
τῶν πρεσβειῶν σου κἀμοῦ τὴν σκοτόμαιναν.

Ἀπαύγασμα χάριτος θεϊκῆς,
Ἰάκωβε νέε,
βίου κρείττονος φρυκτωρέ,
χαρίτων παντοίων λαμπηδόνας
τοὺς σοὶ προσφεύγοντας πίστει ἀνάδειξον.

Κοσμῆτορ Εὐβοίας καὶ τοῦ Δαβὶδ
τοῦ θείου τῆς μάνδρας
καθηγούμενε ἱερέ,
Ἰάκωβε, σὲ τοὺς ἀνυμνοῦντας
πνευματικαῖς ἀρεταῖς τάχος κόσμησον.

Ὡς στῦλον ἁπλότητος ἀῤῥαγῆ
καὶ ἄσειστον τεῖχος
ταπεινώσεως μελιχροῖς,
Ἰάκωβε, στέφοντές σε ὕμνοις
τὰς πρὸς Θεόν σου πρεσβείαις αἰτούμεθα.

*Θεοτοκίον.*

Βαθμίδας τῆς σώφρονος βιοτῆς
ἀξίωσον, Μῆτερ
τοῦ Παντάνακτος, ἀνελθεῖν
τοὺς σὲ μεγαλύνοντας ἀπαύστως
ὡς χαρμονῆς χοϊκοῦ γένους πρόξενον.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἑωσφόρος ὡς θεῖος
τοὺς ἐν σκιᾷ στένοντας
ἄγχους ζοφεροῦ καὶ πανδείνου
ἄλγους ἐφώτισας
ἐν ταῖς ἡμέραις ἡμῶν
ταῖς δυσχειμέροις, πατέρων
θεοφόρων κλέϊσμα,
μάκαρ Ἰάκωβε.

Πειρασμοὺς ἀνυποίστους
τῇ τοῦ Θεοῦ χάριτι,
πάτερ, ὑπομένων εἰς τέλος
ὤφθης ἰσάγγελος
καὶ τῷ Κυρίῳ συνὼν
νῦν ἐκδυσώπει εἰρήνην
δοῦναι σὲ τοῖς μέλπουσιν
ὕμνοις, Ἰάκωβε.

Ῥῶσιν δίδου καὶ χάριν
τοῖς εὐλαβῶς σπεύδουσι
σοὶ ὡς εἰς πολύῤῥυτον κρήνην

ξένων, Ἰάκωβε,
θαυμάτων πλείστων πηγὴν
καὶ ἀκεσώδυνον φρέαρ
ἰαμάτων, ὅσιε,
κόσμου προσφύγιον.

*Θεοτοκίον.*

Ὁμιχλώδεις ἐννοίας
καὶ λογισμοὺς κάθαρον,
ἄσπιλε, ἁγία Παρθένε,
τοὺς τυραννοῦντάς με,
ἵνα ὑμνῶ σε ἀεὶ
καὶ καθαρᾷ διανοίᾳ
ἀνυμνῶ τὴν ἄγρυπνον
κηδεμονίαν σου.

Διάσωσον
ἐκ τῶν παγίδων, Ἰάκωβε, τοῦ δολίου
τοὺς ἐν πίστει
τῇ πανσθενεῖ πρεσβείᾳ σου σπεύδοντας,
νεότευκτε οἶκε τοῦ Παρακλήτου.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

www.tezaurliturgic.ro

*Αἴτησις καὶ τὸ Κάθισμα.*

*Ἦχος β΄. Πρεσβεία θερμή.*

Χαρίτων κρουνὲ ἀείῤῥοε, Ἰάκωβε,
ταῖς σαῖς πρὸς Θεὸν πρεσβείαις καταφεύγοντες
οἱ πιστοὶ βοῶμέν σοι·
ἀρωγῆς σου πότισον νάμασι
τὰς ξηρανθείσας πράξεσιν αἰσχραῖς
ψυχὰς τῶν ἀεὶ καταφευγόντων σοι.

*Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Σὲ μεσίτην θερμότατον
πρὸς τὸν Βασιλέα Θεὸν κατέχομεν,
ἄνθος πίστεως νεόφυτον,
τὸ εὐφραῖνον ἅπαντας, Ἰάκωβε.

Τῆς παιδείας τῆς ἄνωθεν
καὶ Θεοῦ σοφίας λαμπτήρ, Ἰάκωβε,
εὐπαιδεύτους πάντας σόφισον
τοῦ ἐπιζητεῖν τὰ διαμένοντα.

Ἀπερίτρεπτον ἔρεισμα
τῶν χειμαζομένων ὀφθείς, Ἰάκωβε,
συμπαθείας ῥάβδος πάντοτε
τῶν σῶν ἱκετῶν γενοῦ καὶ στήριγμα.

*Θεοτοκίον.*

Τῆς ψυχῆς μου τοὺς μώλωπας
καὶ τὰς ἀνιάτους πληγὰς θεράπευσον,
Θεοτόκε ἀειπάρθενε,
εὖχος Ἰακώβου τιμιώτατον.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἤσχυνας ἐχθρὸν
προσευχαῖς ταῖς νυχθημέροις σου
καὶ συντόνοις σου καμάτοις· ὅθεν νῦν
βοηθεῖς ἡμῖν τροπῶσαι πλάνον, ὅσιε.

Σκέπη φωτεινὴ
τῆς μονῆς Δαβὶδ τοῦ μάκαρος,
περισκέπασον, Ἰάκωβε, θερμῶς
τοὺς προσφεύγοντας τῇ θείᾳ προστασίᾳ σου.

Μέγαν ἀρωγὸν
σέ, Ἰάκωβε, κεκτήμεθα
ἐν τοῦ βίου τρικυμίαις, στιβαρὲ
κυβερνῆτα τῶν ψυχῶν τῶν προσιόντων σοι.

*Θεοτοκίον.*

Ὄμβρον θεϊκὸν
πάσῃ κτίσει ἀποστάζουσα
ὀμβροτόκος ὡς νεφέλη, Μαριάμ,
σωτηρίας κόσμῳ ἄνθος ἀνεβλάστησας.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ὑπέρλαμπρον ἄστρον σε κατηύθυνε
πρὸς τὸ σπήλαιον Δαβὶδ τοῦ ὁσίου
ἐν ὁμιχλώδει νυκτὶ τοῦ χειμῶνος
μέσῳ δρυμοῦ πυκνοτάτου, Ἰάκωβε,
ἡμῖν δεικνύον τοῦ Θεοῦ
πρὸς τὴν σὴν βιοτὴν εὐαρέσκειαν.

Περίδοξον Λιβισίου βλάστημα,
παιδιόθεν τῷ Χριστῷ ἐκολλήθης·
διὸ καὶ χάριν ἀπείληφας θείαν
προσομιλεῖν τοῖς ἁγίοις ἑκάστοτε
καὶ ταπεινῶς ὑπὲρ ἡμῶν,
σῶν προσφύγων, πρεσβεύειν, Ἰάκωβε.

Ἐποίμανας θεαρέστως σύλλογον
τῶν ἀζύγων τοῦ Δαβὶδ τοῦ ὁσίου
τῆς μάνδρας, πάτερ Ἰάκωβε, γέρας
ἀναδειχθεὶς τιμαλφὲς διακρίσεως
ἐν τοῖς ἐσχάτοις τοῖς καιροῖς
τὸ προλέγειν δυνάμενον μέλλοντα.

*Θεοτοκίον.*

Λαμπρότατον τοῦ Ὑψίστου σκήνωμα,
σκοτασμὸν παθῶν ἡμῶν πλείστων λῦσον
καὶ σωτηρίας ἀνάτειλον ἦμαρ
τοῖς ὡς Θεόν σε ἀεὶ μακαρίζουσι
μετὰ Θεὸν μελισταγῶς,
Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Διάσωσον
ἐκ τῶν παγίδων, Ἰάκωβε, τοῦ δολίου
τοὺς ἐν πίστει τῇ πανσθενεῖ πρεσβείᾳ σου σπεύδοντας,
νεότευκτε οἶκε τοῦ Παρακλήτου.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Αἴτησις καὶ τὸ Κοντάκιον.*

*Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Νεολαμπὲς τῆς Εὐβοίας ἐκπύρσευμα,
σημειοφόρε, Ἰάκωβε ὅσιε,
ἀπαύστως δυσώπει τὸν Κύριον
λυτροῦσθαι κινδύνων καὶ θλίψεων
τοὺς πόθῳ ἀεί σοι προσφεύγοντας.

*Προκείμενον.*
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

*Εὐαγγέλιον κατὰ Λουκᾶν. (Κεφ. στ΄ 17-23).*

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ.....

*(Τὸ τῆς Λειτουργίας τῆς ΙΖ΄ Ἰανουαρίου)*

*Δόξα.* Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις. Ἐλεῆμον...

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου πρεσβείαις. Ἐλεῆμον...

*Προσόμοιον.*
*Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅλος ἐκ νεότητος
προσκολληθεὶς τῷ Κυρίῳ
ἀσκητῶν γεγένησαι

θεοφόρων πρόβολος
ἄρτι, ὅσιε,
καὶ πιστῶν πρόμαχος
ἐν ταῖς μάχαις βίου·
ὅθεν πόθῳ ἐκβοῶμέν σοι·
Κυρίῳ πρέσβευε
ῥύεσθαι ἁπάσης κακώσεως,
Ἰάκωβε πανόλβιε,
σοὶ τοὺς καθ' ἑκάστην προστρέχοντας
καὶ ἐπιζητοῦντας
τὴν θείαν σου ὑψόθεν ἀρωγήν,
νεοπαγὲς καταφύγιον
εὐσεβῶν καὶ στήριγμα.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐραστὴς ἀκτησίας
ἄχρι τέλους ὑπάρχων,
σοφὲ Ἰάκωβε,
ἀφθάρτου δόξης πλοῦτον,
σεμνὲ τροφεῦ πενήτων,
ἐθησαύρισας· ὅθεν σε
ἀνευφημοῦντες εὐχῶν
σὸν πλοῦτον ἐκζητοῦμεν.

Ἰατρεύειν κατ' ἄμφω
πᾶσαν νόσον ὑψόθεν
τὴν χάριν εἴληφας,
ἁπλὲ πνευματοφόρε

καὶ πρᾶε ποδηγέτα
χριστωνύμου πληρώματος,
ὡς ἱλαρὸς καὶ γλυκύς,
Ἰάκωβε, θεράπων.

Συμπαθείας πυξίον,
διοράσεως σκεῦος
καὶ προοράσεως,
Ἰάκωβε, νεφέλη,
ἐπόμβρισον ὑψόθεν
ἐφ’ ἡμᾶς ταῖς πρεσβείαις σου
πρὸς τὸν Δεσπότην Αὐτοῦ
τὰ πλούσια ἐλέη.

*Θεοτοκίον.*

Εὐσεβείας τοῖς ἔργοις
τῷ Σωτῆρι τῶν ὅλων
καὶ θείῳ Τόκῳ σου,
Ὑπερευλογημένη,
ἁγνή, εὐαρεστῆσαι
καταξίωσον ἅπαντας,
ὡς ἐν τοῖς χρόνοις ἡμῶν
Ἰάκωβος ὁ νέος.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Νεκρώσας μέλη
τοῦ χοϊκοῦ σου σαρκίου
ἀγρυπνίᾳ καὶ ἄκρᾳ νηστείᾳ
ἄγγελος ὡράθης,
Ἰάκωβε, ὡς ἄλλος.

Θαυμάτων βρύσιν
ὡς εἰς πολύῤῥυτον, μάκαρ,
σοὶ προστρέχουσι πλήθη μερόπων
τῶν διψώντων νέκταρ
ἀντλῆσαι σῆς εὐνοίας.

Εὐῶδες κρίνον
τοῦ οὐρανοῦ ἐν τῇ μάνδρᾳ
τοῦ Δαβὶδ ὤφθης πεφυτευμένον
τοῦ σεπτοῦ, εὐφραῖνον,
Ἰάκωβε, τὸν κόσμον.

*Θεοτοκίον.*

Ῥῶσιν πηγάζεις
καὶ γλυκασμόν, Θεοτόκε,
χαρμονὴ Ἰακώβου τοῦ νέου,
σὲ τοῖς ἀνυμνοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Μονῆς σου τῆς ἁγίας
καὶ τῶν προσιόντων
αὐτῇ πιστῶς φύλαξ ἴσθι, Ἰάκωβε,
σῆς ἀῤῥαγοῦς προστασίας
ἁπλῶν τὰς πτέρυγας.

Οἱ ἐν τῇ ἐξοδίῳ
σοῦ ἀκολουθίᾳ
περιχαρῶς παριστάμενοι, εἶδόν σε

ἐπευλογοῦντα τὰ πλήθη,
σεπτὲ Ἰάκωβε.

Σοὶ κράζομεν· μὴ παύσῃ
ἐφορῶν τὸ γένος
ἡμῶν, ἀζύγων φαιδρότης, Ἰάκωβε,
τὸ καταφεῦγον ἐν δίναις
τῇ ἀντιλήψει σου.

*Θεοτοκίον.*

Χαρὰ τοῦ Ἰακώβου
ἄῤῥητε καὶ πάντων
τῶν φιλοσίων, θεόνυμφε Δέσποινα,
καταφυγή, λύπης ζόφον
ἡμῶν ἀπέλασον.

*Ἄξιόν ἐστιν... καὶ τὰ παρόντα Μεγαλυνάρια.*

Χαίροις, τῶν ἀγγέλων ὁ μιμητὴς
καὶ Δαβὶδ τοῦ θείου
τῶν καμάτων ὁ ζηλωτής,
χαίροις, ὁ δαιμόνων
τὰ στίφη ὥσπερ πλῆθος
σκορπίων δι' εὐχῆς σου
στήσας, Ἰάκωβε.

Ὥς ποτε οἱ Μάγοι πρὸς Βηθλεέμ,
ἔσχες ὁδηγόν σου
πρὸς τὸ σπήλαιον τοῦ Δαβὶδ
τοῦ ὁσίου ἄστρον

νυκτὶ ἐν ὁμιχλώδει,
Ἰάκωβε, ὁσίων
νέων ἀκρώρεια.

Χαίροις, τῆς πτωχείας ὁ ἐραστής,
τῆς ἀκτημοσύνης
καὶ νηστείας ὁ τηρητής,
χαίροις, συμπαθείας
κανὼν καὶ προστασίας
ἡμῶν νεφέλη θεία,
μάκαρ Ἰάκωβε.

Χαίροις, καταγώγιον ἀρετῶν,
χαίροις, ἀπαθείας
καὶ συνέσεως ῥοδεών,
χαίροις, τοῦ ὁσίου
Δαβὶδ τῆς μάνδρας πρῶτε,
Ἰάκωβε, ὁσίων
τὸ στηλογράφημα.

Πάντας τοὺς προστρέχοντας εὐλαβῶς
σκέπῃ σου τῇ θείᾳ
τήρει πάντοτε ἀσινεῖς
ἐκ τῆς ἐπηρείας
τοῦ δυσμενοῦς καὶ σῶσον,
Ἰάκωβε, τοὺς πίστει
σὲ μεγαλύνοντας.

Χαίροις, ὁ ἐκλάμψας ἐν τοῖς καιροῖς
τοῖς ἐσχάτοις, μάκαρ,
ἐν Εὐβοίᾳ σαῖς ἀρεταῖς

καὶ Δαβὶδ τοῦ θείου
σοφῶς μονὴν ποιμάνας,
Ἰάκωβε, πυξίον
χάριτος ἔμπλεων.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Διοράσεως ἔκτυπον καὶ σεμνότητος,
μονῆς Δαβὶδ τοῦ ὁσίου,
θαυματουργέ, προεστώς,
ὁ ἀρότρῳ γεωργήσας τῆς ἀγάπης σου
κεχερσωμένας τοῦ λαοῦ,
θεοφόρητε, ψυχάς,
Ἰάκωβε πάτερ, ἄρτι,
μὴ ἐλλίπῃς Χριστῷ πρεσβεύων
ὑπὲρ ἡμῶν τῶν σὲ καλούντων πιστῶς.

*Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τὸ ἑξῆς·*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.*

Ἄνθος τῆς μονήρους βιοτῆς
τὸ ἐν τοῖς ἐσχάτοις τοῖς χρόνοις

www.tezaurliturgic.ro

εὐωδιάσαν πιστοὺς
ταῖς ὀδμαῖς σεμνότητος
καὶ διοράσεως,
μυροβόλε Ἰάκωβε,
ὑψόθεν μὴ παύσῃ
ἐποπτεύων ἅπαντας
τοὺς σὲ γεραίροντας,
πᾶσι δὲ ἀφθόνως ἐκχέων
μῦρον εὐσπλαγχνίας εὐῶδες
καὶ ζωῆς ἀλήκτου θεῖα νάματα.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

Μιμητὴν σοῦ βίου, Ἰάκωβε, δεῖξον
Ἰάκωβον, ἐμοῦ καὶ Παρέσης γόνον.

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ
# ΕΙΣ ΤΟΝ ΠΝΕΥΜΑΤΟΦΟΡΟΝ
# ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
# ΤΟΝ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ
# ΕΚΛΑΜΨΑΝΤΑ

www.tezaurliturgic.ro

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ
## ΕΙΣ ΤΟΝ ΕΝ ΟΣΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
## ΤΟΝ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΑ

*Κοντάκιον.*
*Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Ἐν τῇ Εὐβοίᾳ πρακτικῶς πολιτευσάμενος
καὶ ἀρετῶν ἡδίστοις ῥόδοις στολισάμενος
σοῦ τοὺς πρόσφυγας ἐμύρισας ἄρτι, πάτερ,
τοῦ σεπτοῦ Δαβὶδ ἐν σκάμμασιν ἐφάμιλλε
καὶ καμνόντων ἀντιλῆπτορ εὐσυμπάθητε·
ὅθεν κράζομεν· Χαίροις, μάκαρ Ἰάκωβε.

*Οἱ Οἶκοι.*

Ἄγγελος ἐν τοῖς χρόνοις
τοῖς ἡμῶν φωτοφόρος,
Ἰάκωβε θεόφιλε, ὤφθης· (ἐκ γ΄)
πρὸς Θεὸν γὰρ ἀπαύστως σὸν νοῦν
ἐστραμμένον ἔχων τοῦ ἐχθροῦ ἔνεδρα
ἐπάτησας συντόνῳ σου
ἀσκήσει· ὅθεν σοι βοῶμεν·

Χαῖρε, ὁ στῦλος τῆς ἐγκρατείας·
χαῖρε, ὁ λύχνος τῆς ἀκακίας.

Χαῖρε, Τρισηλίου θεότητος οἴκημα·
χαῖρε, Λιβισίου τῆς Μάκρης ἐκβλάστημα.

Χαῖρε, φέγγος νεοφώτιστον θεοφόρων ἀσκητῶν·
χαῖρε, βάθος ταπεινώσεως καὶ φρονήσεως κανών.

Χαῖρε, ὁ πεπλησμένος δωρεαῖς οὐρανίαις·
χαῖρε, ὁ ἠρδευμένος μυστικαῖς ἐπομβρίαις.

Χαῖρε, εἰκὼν σοφίας τοῦ Κτίσαντος·
χαῖρε, λειμὼν ἀγάπης τῆς κρείττονος.

Χαῖρε, ἀκτὶς φωτεινὴ συμπαθείας·
χαῖρε, πυξὶς προσευχῆς καὶ νηστείας·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Βήμασι τῶν πατέρων
τῆς ἐρήμου ἀρτίως
τῶν πάλαι ἠκολούθησας, πάτερ,
καὶ μονὴν τοῦ ὁσίου Δαβὶδ
σταθηρὰν βαλβίδα τῶν στεῤῥῶν ἔδειξας,
Ἰάκωβε, ἀγώνων σου
κραυγάζων τῷ Θεῷ ἀπαύστως

**Ἀλληλούϊα.**

Γόνε τοῦ Λιβισίου
ἱερέ, νηπιόθεν
στερήσεων ἐβάδισας τρίβους
καὶ προσφύγων ἐγεύσω πικρὰν
τὴν πρὸς βρῶσιν ἄρτου ἱκανοῦ στέρησιν,

δι᾽ οὗ πιστοὺς ἐχόρτασας
τοὺς εἶτά σοι βοῶντας ταῦτα·

Χαῖρε, ὁ ἄρτος τῶν πενομένων·
χαῖρε, ὁ φάρος τῶν ποντουμένων.

Χαῖρε, ὁ κιρνῶν ὕδωρ πᾶσι σωτήριον·
χαῖρε, ὁ πατῶν τὸν ἐχθρὸν τὸν μισόκαλον.

Χαῖρε, δένδρον ἀγλαόκαρπον ἀκραιφνοῦς ἀποταγῆς·
χαῖρε, ἄστρον τηλαυγέστατον συμπαθείας θεϊκῆς.

Χαῖρε, ὅτι πεινώντων τὰς καρδίας χορτάζεις·
χαῖρε, ὅτι στενόντων πᾶσαν θλῖψιν διώκεις.

Χαῖρε, χαρὰ πιστοῖς ὁ δωρούμενος·
χαῖρε, φθορὰν ὁ φεύγων τοῦ δαίμονος.

Χαῖρε, ζωῆς ἐν Χριστῷ ἐκμαγεῖον·
χαῖρε, σεμνῆς πολιτείας πυξίον·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Δύναμιν κεκτημένος
θεϊκὴν τὰς παγίδας
νεότητος διέφυγες, σῶφρον,
καὶ λευκὴν τῆς ψυχῆς σου στολὴν
συνετήρεις ῥύπον λογισμῶν πάντοτε
διώκων πόῤῥω, ὅσιε
Ἰάκωβε, καὶ πόθῳ κράζων

**Ἀλληλούϊα.**

Ἔδραμες πρὸς τὴν μάνδραν
τοῦ Δαβὶδ τοῦ ὁσίου
ὡς ἔλαφος ἐπὶ τῶν ὑδάτων
τὰς πηγὰς καὶ Θεοῦ δωρεῶν

πληρωθεὶς ἀσκήσει ἀληθεῖ, ὅσιε,
ἐπότισας τοῖς νάμασι
χαρᾶς τοὺς σοὶ πιστῶς βοῶντας·

Χαῖρε, τὸ φρέαρ τῆς καρτερίας·
χαῖρε, τὸ νέκταρ τῆς θυμηδίας.

Χαῖρε, ἀγωγῆς μονοτρόπων ὑπόδειγμα·
χαῖρε, ψυχικῆς ὡραιότητος ἄγαλμα.

Χαῖρε, μύρον εὐωδέστατον βίου ὄντως καθαροῦ·
χαῖρε, ἄστρον φαῖνον χάρισιν ἀτραποῖς πιστοῦ λαοῦ.

Χαῖρε, ὅτι σβεννύεις τῆς σαρκὸς τὰς φλογώσεις·
χαῖρε, ὅτι ἐκρέεις ἰαμάτων τὰς δόσεις.

Χαῖρε, κρουνὸς θαυμάτων ἀείῤῥυτος·
χαῖρε, σκηπτὸς δαιμόνων δριμύτατος.

Χαῖρε, δι' οὗ ἡ κακία τροποῦται·
χαῖρε, δι' οὗ πᾶς βροτὸς κραταιοῦται·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Ζέουσαν ἔχων πίστιν
ἐπεδόθης εἰς πλείστους
ἀγῶνας καὶ κατέτηξας σάρκα
ὡς κηρόν, ἀσκητά, ἵνα νοῦν
πρὸς Θεὸν πτερώσῃς καὶ ἡμῶν Κύριον,
Ἰάκωβε πανθαύμαστε,
ᾯ ἔψαλλες ἀμώμῳ γλώσσῃ

**Ἀλληλούϊα.**

Ἤκουσε προσευχῆς σου
ὁ Δαβὶδ ὁ θεόφρων
τὸ εὔτονον, Ἰάκωβε θεῖε,

καὶ οὐ μόνον μονῆς σε αὐτοῦ
ὑπηρέτην, πάτερ, εὐπειθῆ ἔδειξεν,
ἀλλὰ σεμνὸν ἡγούμενον,
Ἰάκωβε, πρὸς ὃν βοῶμεν·

Χαῖρε, τὸ νέον ἀζύγων κέρας·
χαῖρε, τὸ θεῖον νηστείας γέρας.

Χαῖρε, ὁ ζηλώσας πατέρων τὰ σκάμματα·
χαῖρε, ὁ πατήσας ἐχθροῦ τὰ φρυάγματα.

Χαῖρε, ἄγγελε ἐπίγειε, τῶν ὁσίων κοινωνέ·
χαῖρε, ἄνθρωπε οὐράνιε, μονοτρόπων ὁδηγέ.

Χαῖρε, ὅτι ἀρτίως ἐν Εὐβοίᾳ ἠσκήσω·
χαῖρε, ὅτι ἀξίως στέφος δόξης ἐκτήσω.

Χαῖρε, χρωστὴρ χαρίτων τοῦ Πνεύματος·
χαῖρε, λαμπτὴρ ἁγνείας νεόφωτος.

Χαῖρε, παθῶν καθαιρέτα αἰσχίστων·
χαῖρε, ἀνδρῶν μιμητὰ θεοφόρων·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Θέλων Δαβὶδ τοῦ θείου
μιμηθῆναι τοὺς τρόπους
μετέβαινες αὐτοῦ εἰς τὸ ἄντρον
καθ’ ἑκάστην ἑσπέραν, σοφέ,
καὶ δι’ ὅλης, πάτερ, τῆς νυκτὸς ἔψαλλες,
Ἰάκωβε, τῷ Κτίσαντι,
καὶ ὕμνοις μυστικοῖς ἐβόας
**Ἀλληλούϊα.**

Ἔθυνεν ἐν τῷ σκότει
τοῦ ζοφώδους χειμῶνος,
Ἰάκωβε, φωτόλαμπρον ἄστρον
σοῦ τὰ βήματα πρὸς τοῦ Δαβὶδ
τοῦ ὁσίου ὄντως ἱερὸν σπήλαιον,
εὐχῆς ὃ ἔσχες μέλαθρον·
διὸ σοι φωνασκοῦμεν ταῦτα·

Χαῖρε, ἰσότιμε τῶν ἀγγέλων·
χαῖρε, ἐφάμιλλε τῶν ὁσίων.

Χαῖρε, προσευχῆς φωτεινὸν ἐργαστήριον·
χαῖρε, θεϊκῆς πολιτείας κειμήλιον.

Χαῖρε, ὅτι κατεφώτισας τὴν Ἑλλάδα σαῖς αὐγαῖς·
χαῖρε, ὅτι κατεδρόσισας εὐσεβεῖς σαῖς διδαχαῖς.

Χαῖρε, ἀκτημοσύνης ὁ λαμπρὸς εἰσηγήτωρ·
χαῖρε, δικαιοσύνης φιλοθέου ὁ πράκτωρ.

Χαῖρε, δακρύων κρήνη ἀέναος·
χαῖρε, δαιμόνων μάστιγξ ἀνίκητος.

Χαῖρε, καινὸν τῆς πίστεως αὖχος·
χαῖρε, λαμπρὸν τῆς χάριτος σκεῦος·

**Χαίροις, μάκαρ Ἰάκωβε,**

Κάτοχος τῆς τελείας
πρὸς πλησίον ἀγάπης
γενόμενος ἀπαύστως προσηύχου
ὑπὲρ πάντων στενόντων δεινῶς
καὶ καμνόντων πάτερ, ἀρωγὲ τάχιστε
τῶν σοὶ πιστῶς, Ἰάκωβε,
σπευδόντων καὶ τρανῶς βοώντων·

**Ἀλληλούϊα.**

Λάμψας ἐν τῇ Εὐβοίᾳ
ὡς νεόφωτον σέλας
ἐφώτισας ἐλλόγους ἀγέλας
ἐν σκιᾷ καθευδούσας δεινῆς
ἀγνωσίας λόγων σου ἁπλῶν, πάντιμε,
αὐγαῖς· διὸ βοῶμέν σοι
λαμπρῶς οἱ φωτισθέντες ταῦτα·

Χαῖρε, τὸ ἴαμα τῶν νοσούντων·
χαῖρε, τὸ στήριγμα κλονουμένων.

Χαῖρε, ἀκτησίας φωστὴρ τηλαυγέστατε·
χαῖρε, ἀσιτίας πυρσὲ φαεινότατε.

Χαῖρε, ὅτι κατηγλάϊσας εὐσεβούντων τὸν χορόν·
χαῖρε, ὅτι καταβέβληκας τὸν μισόκαλον ἐχθρόν.

Χαῖρε, τῆς Ἐκκλησίας τὸ νεότευκτον βάθρον·
χαῖρε, τῆς εὐσεβείας τὸ ἀπώτατον ἄκρον.

Χαῖρε, γλυκὺ ψυχῆς μου ἐντρύφημα·
χαῖρε, ἡδὺ καρδίας μου καύχημα.

Χαῖρε, φωτὸς οὐρανίου θεάμων·
χαῖρε, κρουνὸς πολυχεύμων θαυμάτων·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Μεγαλύνει τοὺς πόνους
σῆς πολλῆς καρτερίας
ἡ Εὔβοια, Ἰάκωβε, πᾶσα
καὶ προστάτην νοοῦσα θερμὸν
σὲ καυχᾶται, γέρον, προεστὼς ἔνθεε
μονῆς Δαβίδ, Ἰάκωβε,
λιταῖς σου ταῖς σεπταῖς βοῶσα

**Ἀλληλούϊα.**

Νοῦν τὸν σὸν ἐκκαθάρας
ἀγρυπνίᾳ, νηστείᾳ
καὶ ἄκρα ταπεινώσει πρὸς ὕψος
δυσαντίβλεπτον παντοειδῶν
ἀρετῶν ἐπήρθης, ἱερεῦ ἄκακε,
Ἰάκωβε, καὶ ἔπιθες
σοὺς πρόσφυγας βοᾶν ἀπαύστως·

Χαῖρε, ἡ σμίλη τῆς ἀπαθείας·
χαῖρε, ἡ στάθμη τῆς ἐγκρατείας.

Χαῖρε, τῆς ἀῤῥήτου εὐκλείας συμμέτοχος·
χαῖρε, τοῦ Δεσπότου Χριστοῦ ὁ ἐράσμιος.

Χαῖρε, ὅτι κατεφρόνησας τὰ γεώδη καὶ ῥευστά·
χαῖρε, ὅτι ἐπεπόθησας τὰ ἐν πόλῳ θαυμαστά.

Χαῖρε, πάμφωτε φάρε τοὺς ἐν σκότει φωτίζων·
χαῖρε, ἄῤῥηκτε στῦλε κλονουμένους στηρίζων.

Χαῖρε, θεμέλιον τῆς πραότητος·
χαῖρε, ἀνάκτορον ταπεινώσεως.

Χαῖρε, Θεοῦ ὁ θεώμενος κάλλος·
χαῖρε, Αὐτοῦ ὁ ὁρῶν νῦν τὸ φέγγος·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Ξένον ἄκουσμα ὄντως!
Πῶς ἑσμὸν τῶν σκορπίων
καθήλωσας, σοφέ, δι’ εὐχῆς σου
καὶ ἀπείραστος ἐκ τοῦ ἐχθροῦ
τῶν ἐφόδων, πάτερ γεραρέ, ἔμεινας
δοξάζων τὸν Παντάνακτα
καὶ χείλεσιν ἀμώμοις ψάλλων

**Ἀλληλούϊα.**

Ὅλος ἡγιασμένος
ἐν ἡμῶν ταῖς ἡμέραις,
Ἰάκωβε παμμάκαρ, ἐδείχθης·
ἀποτάξας γὰρ πᾶν χαμερπὲς
νυχθημέροις πόνοις καὶ εὐχῇ ἔλαμψας
ὡς ἥλιος χρηστότητος·
διό σοι ἐκφωνοῦμεν ταῦτα·

Χαῖρε, ἁπλότητος θεῖος κῆρυξ·
χαῖρε, σεμνότητος πάσης σάλπιγξ.

Χαῖρε, εὐσεβείας παμπέπειρος ἄμπελος·
χαῖρε, εὐψυχίας ὁ μέγας διδάσκαλος.

Χαῖρε, τύπος ἀπαράμιλλος τῶν ἀρχαίων ἀσκητῶν·
χαῖρε, εὖχος πολυτίμητον ἀσκουμένων μοναστῶν.

Χαῖρε, ὅτι στερήσεις γεγηθὼς ὑπομένεις·
χαῖρε, ὅτι συντρίβεις τοῦ ἐχθροῦ τὰς ἐπάρσεις.

Χαῖρε, κανὼν ὁσίας ἀσκήσεως·
χαῖρε, εἰκὼν ἀγάπης καὶ νήψεως.

Χαῖρε, κλεινὲ προεστὼς τῆς σῆς μάνδρας·
χαῖρε, φανὲ τηλαυγὲς παρθενίας·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Πύργος ἀοργησίας
καὶ ἀγάπης τελείας
νεόδμητος, Ἰάκωβε, ὤφθης·
διοράσεως ὅθεν ἡμεῖς
μυροθήκην θείαν καὶ τερπνὴν ἔγνωμεν
σέ, τίμιε Ἰάκωβε,
καὶ ὕμνοις μυστικοῖς βοῶμεν

**Ἀλληλούϊα.**

Ῥείθροις τῶν σῶν ἱδρώτων
ἐγεώργησας μάνδραν
τὴν πάνσεπτον Δαβὶδ τοῦ ὁσίου
καὶ καρποὺς ἐν αὐτῇ θαλεροὺς
μοναστῶν ποθούντων κατιδεῖν Κύριον
ἐβλάστησας, Ἰάκωβε,
τῶν νῦν σοι ἐκβοώντων ταῦτα·

Χαῖρε, ἀσκήσεως εὐωδία·
χαῖρε, τῆς πίστεως ἡ κινύρα.

Χαῖρε, ἀηδὼν τῆς ἐνθέου φρονήσεως·
χαῖρε, λαμπηδὼν ἀϊδίου ἐμφάσεως.

Χαῖρε, στέφος τὸ χρυσόπλοκον οὐρανίων ἀρετῶν·
χαῖρε, νέφος χρυσοσύνθετον ἰαμάτων δαψιλῶν.

Χαῖρε, ἀγαθωσύνης τιμιώτατος ὄρπηξ·
χαῖρε, ἐχθροῦ ἀπάτης ὁ ἀμφίστομος πέλυξ.

Χαῖρε, ὀσμὴ ἀρίστης ἀσκήσεως·
χαῖρε, τροπὴ αἰσχίστης πλανήσεως.

Χαῖρε, καρπῶν γεωργὲ πανευχύμων·
χαῖρε, φυτῶν φυτουργὲ θεαρέστων·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Σύστημα Ὀρθοδόξων
συνελθὸν ἐξ ἁπάσης
τῆς κτίσεως ἐκήδευσε σκῆνος
τὸ σὸν ὄλβιον καὶ θαυμαστῶς
εὐλογοῦντα εἶδέ σε λαόν, ὅσιε
Ἰάκωβε, μακάριε,
καὶ πίστει ἀκλινεῖ ἐβόα·

**Ἀλληλούϊα.**

Τεῖχος εἶ Εὐβοέων
ἀληθῶς καὶ ἀκέστωρ
θερμότατος τῶν σοὶ προστρεχόντων·
ἱκεσίαις γὰρ σαῖς πρὸς Θεὸν
καθ᾽ ἑκάστην πάντες, ἀσκητά, σπεύδομεν,
οὓς σκέπε τῇ σῇ χάριτι
βοῶντάς σοι ἐν εὐλαβείᾳ·

Χαῖρε, κρατὴρ ὁ κιρνῶν ἰάσεις·
χαῖρε, πρηστὴρ τῆς ἐχθροῦ ἀπάτης.

Χαῖρε, τῆς ἀσκήσεως θεῖον ὀσφράδιον·
χαῖρε, ἐγρηγόρσεως βάθρον νεότευκτον.

Χαῖρε, πρόβολος τῆς πίστεως τοῦ Χριστοῦ νεοπαγής·
χαῖρε, στέλεχος ἁγνότητος καὶ ἀζύγων ἀγωγῆς.

Χαῖρε, ὅτι Εὐβοίας τοὺς δρυμοὺς ἁγιάζεις·
χαῖρε, ὅτι σῆς μάνδρας τοὺς χοροὺς ὡραΐζεις.

Χαῖρε, πιστῶν ὁ θεῖος διάκοσμος·
χαῖρε, ἡμῶν ἐν δίναις ὁ πρόμαχος.

Χαῖρε, προσφύγων τῶν σῶν ἀντιλήπτωρ·
χαῖρε, ἁπάντων πιστῶν παρακλήτωρ·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Ὕπνον τοῖς σοῖς βλεφάροις
καὶ ἀνάπαυσιν, πάτερ,
οὐκ ἔδωκας σοῖς θείοις κροτάφοις,
ἕως οὗ εἰς παλάμας Θεοῦ
τὸ σὸν πνεῦμα, νέον ἀσκητῶν ἔρεισμα,
παρέδωκας μελίῤῥυτον
ψελλίζων ἐπῳδὸν τῷ Κτίστῃ·

**Ἀλληλούϊα.**

Φίλος γνήσιος ὤφθης
τοῦ Χριστοῦ ὡς ποθήσας,
Ἰάκωβε, Αὐτὸν παιδιόθεν,
τὸ ἀκρότατον τῶν ἐφετῶν·
ὅθεν λόγοις θείοις καὶ σεπταῖς πράξεσιν
ἀρχέτυπον σεμνότητος
ἐγένου ἀσκητῶν βοώντων·

Χαῖρε, ἀζύγων ἡ εὐκοσμία·
χαῖρε, μερόπων ἡ προστασία.

Χαῖρε, πρὸς ἀγῶνας ὁσίους διέγερσις·
χαῖρε, τῆς σοφίας Θεοῦ ὑποτύπωσις.

Χαῖρε, ἅγιε συνόμιλε οὐρανίων στρατιῶν·
χαῖρε, ἄνθρωπε μακάριε, ποδηγέτα πρὸς Θεόν.

Χαῖρε, μάνα τὸ θεῖον, τὸ πεινῶντας ἐκτρέφον·
χαῖρε, στόμα ὡραῖον, τὸ κακίας ἐκτρέπον.

Χαῖρε, φωτὸς ἀδύτου ἐκπύρσευμα·
χαῖρε, παντὸς λαοῦ σεμνολόγημα.

Χαῖρε, τῆς ὕλης ὁ φρύγανα καίων·
χαῖρε, ἀπάτης τὸ πῦρ ὁ σβεννύων·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Χάριν πᾶσαν ἑλκύσας
τῆς ἀκτίστου Τριάδος
ἐσόμενα καλῶς ἠξιώθης
προορᾶν καὶ πιστοὺς ὁδηγεῖν
πρὸς ζωὴν ἀγήρω καὶ χαρὰν ἄληκτον,
Ἰάκωβε· διόπερ σε
ὑμνοῦντες εὐλαβῶς φωνοῦμεν·

**Ἀλληλούϊα.**

Ψάλλειν ἐν κατανύξει
τῷ Σωτῆρι τῶν ὅλων
ἐδίδασκες, Ἰάκωβε, πάντας
αἰτουμένους τὴν σὴν ἀρωγήν,
ἵνα οὗτοι χάριν δαψιλῆ λάβοιεν
ὑψόθεν· διὸ σπεύδομεν
φωνῆσαί σοι πιστῶς τοιαῦτα·

Χαῖρε, ἀσκήσεως ὑποθήκη·
χαῖρε, ἁπλότητος μυροθήκη.

Χαῖρε, τῆς Βορείου Εὐβοίας ὡράϊσμα·
χαῖρε, τῆς ἀλήκτου ζωῆς τὸ φρυκτώρημα.

Χαῖρε, τεῖχος ἀδιάσειστον ἀγαπήσεως Χριστοῦ·
χαῖρε, ξίφος κόπτον φρύαγμα τοῦ ἀλάστορος ἐχθροῦ.

Χαῖρε, ὅτι ἁγίοις ὁμιλεῖς ὥσπερ φίλοις·
χαῖρε, ὅτι ἐν δόμοις νῦν οἰκεῖς οὐρανίοις.

Χαῖρε, Δαβὶδ τοῦ θείου συνέστιος·
χαῖρε, παγὶς Σατὰν καὶ ἀντίπαλος.

Χαῖρε, ἀσπὶς κατ' ἐχθροῦ ἀοράτου·
χαῖρε, ψυχῆς γλυκασμὸς σοῦ ἱκέτου·

**Χαίροις, μάκαρ Ἰάκωβε.**

Ὦ θερμὲ ἀντιλῆπτορ
τῶν εἰς σὲ προστρεχόντων
καὶ κρήνη πολυχεῦμον θαυμάτων, (ἐκ γ΄)
ἐπομβρίαις τῶν σῶν πρεσβειῶν
ἐφ' ἡμᾶς εἰρήνης ὑετὸν στάλαξον
καὶ δὸς τὴν εὐλογίαν σου,
Ἰάκωβε, ἡμῖν τοῦ ψάλλειν

**Ἀλληλούϊα.**

www.tezaurliturgic.ro

*Καὶ αὖθις τὸ Κοντάκιον.*
*Ἦχος πλ. δ΄.* *Τῇ Ὑπερμάχῳ.*

Ἐν τῇ Εὐβοίᾳ πρακτικῶς πολιτευσάμενος
καὶ ἀρετῶν ἡδίστοις ῥόδοις στολισάμενος
σοὶ τοὺς σπεύδοντας ἐμύρισας ἄρτι, πάτερ,
τοῦ σεπτοῦ Δαβὶδ ἐν σκάμμασιν ἐφάμιλλε
καὶ καμνόντων ἀντιλῆπτορ εὐσυμπάθητε·
ὅθεν κράζομεν· Χαίροις, μάκαρ Ἰάκωβε.

Δίστιχον.

Χαῖρέ σοι Χαραλάμπης ἔκραξε πόθῳ
ὁ ἀεὶ φιλῶν σε, Ἰάκωβε μάκαρ.

www.tezaurliturgic.ro

# ЄΓΚΩΜΙΑ
# ЄΙϹ ΤΟΝ ΠΝЄΥΜΑΤΟΦΟΡΟΝ
# ΠΑΤЄΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
# ΤΟΝ ΑΡΤΙΩϹ ЄΝ ЄΥΒΟΙᾼ
# ЄΚΛΑΜΨΑΝΤΑ

www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ
## ΕΙΣ ΤΟΝ ΠΝΕΥΜΑΤΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
## ΤΟΝ ΑΡΤΙΩΣ ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΑ

Ἀκροστιχὶς ἡ ἑξῆς·
«Ἰακώβου, δοχείου χαρίτων καὶ Εὐβοίας κοσμήτορος, Χαραλάμπης μέλπει πόνους.»

*Στάσις α΄. Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.*

Μεγαλύνομέν σε,
ἀσκητὰ νευαγὲς
τῆς Μονῆς Δαβὶδ ὁσίου, Ἰάκωβε,
ἀγαλλίαμα καὶ ὄλβε τιμαλφές.

Μεγαλύνομέν σε,
συμπαθείας εἰκὼν
καὶ ἀγάπης τῆς διπλῆς τόμε πάγχρυσε,
πνευματέμφορε, Ἰάκωβε σοφέ.

Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα: «Ἰακώβου, δοχείου χαρίτων»

Ἰθυντὴρ ὑπάρχων
τῶν προσφύγων τῶν σῶν
πρὸς ζωὴν τὴν αἰωνίαν, Ἰάκωβε,
προσβολῶν ἐχθρῶν ἐκλύτρωσαι ἡμᾶς.

Ἀπαθείας σέλας
παμφαές, ἀσκητά,
καταλάμπεις ἀρετῶν σου, Ἰάκωβε,
τοῖς πυρσεύμασιν ὁμήγυριν πιστῶν.

Κόσμος Ἐκκλησίας
καὶ μονῆς θησαυρὸς
τοῦ Δαβὶδ τοῦ θεοφόρου, Ἰάκωβε,
ἀνεδείχθης ἐν ἐσχάτοις τοῖς καιροῖς.

Ὤφθης μέγας ῥύστης
ἐκ παντοίων δεινῶν
τῶν φωνούντων σου τὴν κλῆσιν, Ἰάκωβε,
καὶ σπευδόντων τῇ θερμῇ σου ἀρωγῇ.

Βρύσις ἰαμάτων,
θαυμασίων κρουνὸς
πολυχεύμων καὶ χειμάῤῥους ἀστείρευτος
ξένων πέφανσαι, Ἰάκωβε σεμνέ.

Οὐρανόθεν ἴδε
καὶ ἱκέτας τοὺς σοὺς
ἐπισκίασον ταχέως, Ἰάκωβε,
καὶ ὁδήγησον εἰς τρίβους σωστικάς.

Ὑπερόπτης πέλων
τῶν φθαρτῶν καὶ ῥευστῶν
τῶν αὔλων ἀνεδείχθης, Ἰάκωβε
τρισμακάριστε, ἀρτίως ἐραστής.

Δεδεγμένος χάριν
τοῦ Θεοῦ ἀφ᾽ ἡμῶν
ἐκδιώκεις σκοτομίνην, Ἰάκωβε,
ἄχθους, πόνων καὶ παθῶν φθοροποιῶν.

Ὁ σεπτός σου τάφος
ἀνεδείχθη κρουνὸς
ἰαμάτων ἀκεσώδυνος, ὅσιε,
θαυματόβρυτε Ἰάκωβε, κλεινέ.

Χαῖρε σοι, βοῶμεν,
Λιβισίου βλαστὲ
καὶ ἀπάνθισμα Εὐβοίας, Ἰάκωβε,
τὸ εὐφραῖνον ἀρετῶν ὀδμαῖς πιστούς.

Ἐν σπηλαίῳ πάτερ,
τοῦ ὁσίου Δαβὶδ
προσευχόμενος, Ἰάκωβε, δαίμονος
κατεπάτησας ἰσχὺν τοῦ μιαροῦ.

Ἱκετεύομέν σε
προσευχῆς ἐραστά·
ῥαθυμίας ἀφ᾽ ἡμῶν ζόφον δίωξον
τῶν τιμώντων σε, Ἰάκωβε, πιστῶς.

Ὁ φωστὴρ Εὐβοίας,
ὁ φωτίζων φαιδρῶς
τὰς χορείας εὐσεβούντων, Ἰάκωβε,
τὴν ἡμῶν ἀχλὺν ἀπέλασον παθῶν.

Ὕμνοις ἐγκωμίων
στέφομέν σε ἀεὶ
τὸν γευσάμενον πτωχείαν, Ἰάκωβε,
παιδιόθεν καὶ τὴν σπάνιν ἀγαθῶν.

Χαῖρε, ἀκτησίας
καὶ ἠθῶν λαμπηδὼν
ἀρετῆς τε ψυχοτρόφου ἀπαύγασμα,
σοὶ κραυγάζομεν, Ἰάκωβε λαμπρέ.

Ἀρχαγγέλου φίλε,
Μιχαήλ, θαυμαστῶς
εἶδες τοῦτον σοὶ δεικνύοντα ὅρια
τῆς δομήσεως ναοῦ αὐτοῦ, σεπτέ.

Ῥείθροις σῆς ἀγάπης
ξηρανθείσας ψυχὰς
κατεπίανας, τρισμάκαρ Ἰάκωβε,
γεωργὲ μεταμελείας καὶ χαρᾶς.

Ἴθυνόν με, πάτερ,
πρὸς νομὰς οὐρανῶν,
ὧν τῆς δρόσου ἀπολαύεις, Ἰάκωβε,
σὺν ἀγγέλων ἀγαλλόμενος χοροῖς.

www.tezaurliturgic.ro

Τῆς μονῆς προΐστωρ
τοῦ ὁσίου Δαβὶδ
ἐνθεώτατος, Ἰάκωβε, πέφηνας,
ἀπλανέστατε λαοῦ χειραγωγέ.

*Δόξα. Τριαδικόν.*

Ὦ Τριὰς ἁγία,
Ἰακώβου λιταῖς,
τοῦ λαμπρῶς ἡμῖν ἀρτίως ἐκλάμψαντος,
σῶσον πάντας ἐξ ἐχθροῦ ἐπιβουλῆς.

*Καὶ νῦν. Θεοτοκίον.*

Νέου, Ἰακώβου,
θαυμαστοῦ ἀσκητοῦ,
Θεοτόκε, ἀγαλλίαμα, πρόσδεξαι
τὰς ἡμῶν ἱκετηρίους προσευχάς.

*Στάσις β΄. Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.*

Ἄξιόν ἐστι
μεγαλύνειν σε τὸν θεοφόρον
ἀσκητὴν τερπνοῖς μελῳδήμασι,
πνευματέμφορον Ἰάκωβον, ἀεί.

Ἄξιόν ἐστι
τὸν Ἰάκωβον, τὸν ἐν Εὐβοίᾳ
ἐν ἐσχάτοις χρόνοις ἀσκήσαντα,
καταστρέφειν ἐφυμνίοις μελιχροῖς.

Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα·
«Καὶ Εὐβοίας κοσμήτορος»

Κλέος ἱερὸν
τοῦ ὁσίου τοῦ Δαβὶδ σεμνείου
καὶ πιστῶν, θεόφρον Ἰάκωβε,
ἀνυμνοῦμέν σε, ἰθύντορα σοφόν.

Ἄπονον ζωὴν
ἐπιβράβευσον τοῖς σὲ τιμῶσιν,
προεστώς, Ἰάκωβε ὅσιε,
τῆς μονῆς τοῦ οὐρανόφρονος Δαβίδ.

Ἴασαι ἡμῶν
τῶν ψυχῶν καὶ τῶν σωμάτων νόσους,
ἰατρέ, Ἰάκωβε, ἄριστε
καὶ ταχύτατε πιστῶν θεραπευτά.

Ἔλαμψας ἡμῖν
ὡς νεόφωτος ἀστὴρ σοφίας
καὶ θαυμάτων πλείστων, Ἰάκωβε,
ἀγγελόμορφε Εὐβοίας ἀσκητά.

Ὕμνοις καὶ ᾠδαῖς
καταστέφομεν σὴν θείαν μνήμην,
ἔμψυχον, Ἰάκωβε ὅσιε,
ἐκμαγεῖον ἐν Χριστῷ καινῆς ζωῆς.

Βλάβης τοῦ ἐχθροῦ
ῥῦσαι πάντας τοὺς ἀνευφημοῦντας
χάριν, ἥν, Ἰάκωβε, εἴληφας
ἐκδιώκειν δαιμονίων τὸν ἑσμόν.

Ὄμβρισον ἡμῖν
ὑετὸν τῆς θείας εὐσπλαγχνίας,
φωτεινὴ νεφέλη, Ἰάκωβε,
συμπαθείας καὶ ἀγάπης πατρικῆς.

Ἵνα πρὸς Θεὸν
τὸν σὸν νοῦν, Ἰάκωβε, πτερώσῃς
φρόνημα σαρκός σου ἐνέκρωσας,
ἰσουράνιε καὶ ἄσπιλε βροτέ.

Ἄγαλμα εὐχῆς,
τῷ Παντάνακτι καὶ τοῖς Ἁγίοις
προσωμίλεις, θεῖε Ἰάκωβε,
ὥσπερ φίλοις σου οἰκείοις, ἀσκητά.

Στῦλος ἀκλινὴς
προσφορᾶς, Ἰάκωβε, πρὸς πάντας
ὤφθης τοὺς πιστῶς σοι προσφεύγοντας
καὶ ζητοῦντας τὴν θερμήν σου ἀρωγήν.

Κῆπος εὐανθὴς
ταπεινώσεως καὶ ἀκτησίας
ἐποφθείς, Ἰάκωβε, ἤδυνας
ἀσκητῶν ἀρτίως πάντας τοὺς χορούς.

Ὅσιε Χριστοῦ
εὐσυμπάθητε καὶ ἐλεῆμον,
πλοῦτον σῆς καρδίας, Ἰάκωβε,
τὸν ἀσύλητον κατέδειξας πιστοῖς.

Σκέπε τῇ θερμῇ
καὶ ἀγρύπνῳ σου ἐπιστασίᾳ
τοὺς προστάτην σχόντας πανίσχυρον
σέ, Ἰάκωβε, πιστῶν καταφυγή.

Μέμνησο ἡμῶν
τῶν ὑμνούντων σε ὡς θεοφόρον
ἀσκητὴν καὶ βρύσιν θεόβρυτον
θαυμασίων ἀνεξάντλητον, σοφέ.

Ἤσχυνας ἐχθρὸν
ταῖς παννύχοις σου εὐχαῖς καὶ πόνοις
νυχθημέροις, πάτερ Ἰάκωβε,
ἐν τῇ μάνδρᾳ τοῦ παμμάκαρος Δαβίδ.

Τείχισον ἡμᾶς
σαῖς πρὸς Κύριον θερμαῖς πρεσβείαις,
ἵνα τὸν ἐχθρὸν τὸν μισόκαλον
ἀντικρούσωμεν, Ἰάκωβε, καλῶς.

Ὄρος ὑψηλὸν
καὶ περίβλεπτον ἀρτίως ὤφθης,
ἀσκητὰ Εὐβοίας, Ἰάκωβε,
διοράσεως, ἀγάπης καὶ εὐχῆς.

Ῥάβδῳ σῶν εὐχῶν
ἐπιστήριξον τοὺς ὑμνητάς σου,
ἵνα βίου πάντες, Ἰάκωβε,
διανύσωμεν καλῶς τὴν ἀτραπόν.

*Δόξα. Τριαδικόν.*

Ὅλος Σῷ φωτὶ
λαμπρυνόμενος, Τριὰς ἁγία,
Πάτερ σὺν Υἱῷ καὶ τῷ Πνεύματι,
ὁ Ἰάκωβος ἀνύμνει Σε λαμπρῶς.

*Καὶ νῦν. Θεοτοκίον.*

Σῶσον ἐκ φθορᾶς
τοὺς ὑμνοῦντας σε, Παρθενομῆτορ,
ταῖς τοῦ Ἰακώβου ἐντεύξεσι,
τοῦ ἐκλάμψαντος ἀρτίως ἀσκητοῦ.

*Στάσις γ΄. Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.*

Αἱ γενεαὶ πᾶσαι
μακαρίζομέν σε,
Ἰάκωβε θεόφρον.

Αἱ γενεαὶ πᾶσαι
Ἰάκωβον τιμῶμεν
τὸ τῆς Εὐβοίας κλέος.

Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα· «Χαραλάμπης μέλπει πόνους.»

Χαρᾶς ἀφάτου πλῆσον
τοὺς σὲ ὑμνολογοῦντας,
Ἰάκωβε παμμάκαρ.

Ἁγίων κατ’ ἀξίαν
χοροῖς συνηριθμήθης,
Ἰάκωβε, ἀρτίως.

Ῥαίνομέν σε, πάτερ
Ἰάκωβε, ἀσμάτων
τοῖς ἡδυπνεύστοις μύροις.

Ἁπλότητος πυξίον,
Ἰάκωβε, σοφίας
Θεοῦ ταμεῖον ὤφθης.

Λαμπὰς χρηστοηθείας,
Ἰάκωβε, τὸν κόσμον
ἐφώτισας σῷ φέγγει.

Ἀρτίως ἐδοξάσθης
παρὰ Θεοῦ ὡς βάθρον,
Ἰάκωβε, ἀγάπης.

Μὴ παύσῃ οὐρανόθεν,
Ἰάκωβε, παρέχειν
ψυχῆς εἰρήνην πᾶσι.

Παντοίων ἰαμάτων,
Ἰάκωβε, ὁ τάφος
ὁ σὸς ἐπώφθη κρήνη.

Ἡ πάντιμός σου μνήμη,
Ἰάκωβε, τὰ πλήθη
χαρᾶς πληροῖ ἀῤῥήτου.

Σωμάτων ἀλγηδόνας,
Ἰάκωβε, διώκεις,
τῇ θείᾳ χάριτί σου.

Μονῆς Δαβίδ ὁσίου,
Ἰάκωβε, προΐστορ,
ἀζύγων σκέπε τάξεις.

Ἐπίσταζε κατ᾽ ἄμφω,
Ἰάκωβε, ὑψόθεν
τοῖς ὑμνηταῖς σου ῥῶσιν.

Λαμπρύνεις τῶν ὁσίων,
Ἰάκωβε, τοὺς δήμους
ἐν δόμοις οὐρανίοις.

Πανευσθενὴς ὑπάρχεις,
Ἰάκωβε, προστάτης
σὲ ἐπικαλουμένων.

Εὐπρόσδεκτον ὡς δῶρον,
Ἰάκωβε, σὸν βίον
παρέθηκας Κυρίῳ.

Ἰκάνωσόν με πόνους,
Ἰάκωβε, σοὺς θείους
μιμήσασθαι ἐν βίῳ.

Παγίδων τοῦ Βελίαρ,
Ἰάκωβε, τοῦ πλάνου,
τοὺς σοὺς ἱκέτας ῥῦσαι.

Ὁδοὺς μεταμελείας
καὶ σωτηρίας δεῖξον
τοῖς καταφεύγουσί σοι.

Νῦν πάντες σε τιμῶμεν
ὡς συμπαθείας κόσμου,
Ἰάκωβε, ἀγκάλην.

Οὐράνωσον τὸν νοῦν μου
καὶ νέκρωσον σαρκός μου,
Ἰάκωβε, κινήσεις.

*Δόξα. Τριαδικόν.*

Ὑμνοῦμέν σε ἀπαύστως,
Τριὰς ὑπεραγία,
τῶν γηγενῶν χορεῖαι.

*Καὶ νῦν. Θεοτοκίον.*

Σαρκὸς ἐπαναστάσεις
κατάστειλόν μου, Μῆτερ,
λιταῖς τοῦ Ἰακώβου.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

*Ἦχος πλ. α΄.*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Ἰάκωβον ὑμνῆσαι.

Τῶν ἀγγέλων οἱ δῆμοι
κατεπλάγησαν βίον
διαυγῆ σου ὁρῶντες,

ἀσκητὰ νεολαμπές,
τοῦ σεμνείου προΐστορ
τοῦ σεπτοῦ Δαβίδ,
ὅσιε Ἰάκωβε,
καὶ Εὐβοίας πυρσὲ
ἀειφεγγέστατε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Ἰάκωβον ὑμνῆσαι.

Ὕμνων μύροις
τὴν σὴν μνήμην στέφομεν
τὴν πανίερον καὶ πόθῳ
τάφον εὐλαβῶς σὸν ἀσπαζόμενοι,
τὸν ἰάσεις βλύζοντα, βοῶμεν·
νέων ἀσκητῶν,
Ἰάκωβε, καύχημα,
ἴσθι πάντων ἡμῶν
ἀκέστωρ ἔνθεος.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Ἰάκωβον ὑμνῆσαι.

Λίαν στεῤῥῶς
ἠγωνίσω, ἔνθεε,
καὶ ὀφρὺν ἐπάταξας τοῦ πλάνου·
ὅθεν χάριν δαψιλῆ
ἀπείληφας θεόθεν
σκέπειν τοὺς πιστῶς
σπεύδοντας σῇ χάριτι,
ἀρετῆς ἐραστὰ
ἔνθερμε, Ἰάκωβε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Ἰάκωβον ὑμνῆσαι.

Μυροφόροι ὡς ἄλλοι
ἀναμέλποντες ὕμνους
τὸν σὸν τάφον, Ἰάκωβε, κυκλοῦμεν
καὶ αὐτὸν εὐλαβῶς
προσκυνοῦντες βοῶμεν·
ἴθυνον ἡμᾶς
τοὺς σοὶ καταφεύγοντας
πρὸς σκηνὰς οὐρανῶν
σὺν σοὶ ἀγάλλεσθαι.

*Δόξα. Τριαδικόν.*

Τὴν ἁγίαν Τριάδα
ἐν μιᾷ τῇ οὐσίᾳ
εὐλαβῶς προσκυνοῦντες
τὸν Αὐτῆς ὑπηρέτην
μεγαλύνομεν πόθῳ
ὥσπερ ἀρετῆς
σύνοικον, Ἰάκωβον,
θεοφόρων ἀνδρῶν
φανὸν νεόφωτον.

*Καὶ νῦν. Θεοτοκίον.*

Φωτοδότην τεκοῦσαν,
τὴν πανύμνητον Κόρην,
ἀπελάσασαν ζόφον
τῆς βροτῶν ἁμαρτίας
παραστάτην ἐν βίῳ

ἔχων, θαυμαστὲ
ἀσκητά, Ἰάκωβε,
ὡδηγήθης
πρὸς τὸ Φῶς τὸ ἄδυτον.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα Σοι, ὁ Θεός (ἐκ. γ′)

Δίστιχον.

Σκέπε, Ἰάκωβε, τὸν φερώνυμόν σου
υἱὸν ἀεὶ σοῦ ὑμνητοῦ Χαραλάμπους.

www.tezaurliturgic.ro

# ЄΓΚΩΜΙΑ
# ΚΑΤΑ ΤΟ ΑΚΑΤΑΛΗΠΤΟΝ ЄCΤΙ
# ЄΙC ΤΟΝ ΠΝЄΥΜΑΤΟΦΟΡΟΝ
# ΠΑΤЄΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
# ΤΟΝ ΑΡΤΙΩC ЄΝ ЄΥΒΟΙᾼ
# ЄΚΛΑΜΨΑΝΤΑ

www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ
## ΚΑΤΑ ΤΟ ΑΚΑΤΑΛΗΠΤΟΝ ΕСΤΙ
## ΕΙС ΤΟΝ ΠΝΕΥΜΑΤΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΙΑΚΩΒΟΝ
## ΤΟΝ ΑΡΤΙΩС ΕΝ ΕΥΒΟΙᾼ ΕΚΛΑΜΨΑΝΤΑ

Ἀκροστιχὶς ἡ ἑξῆς·
«Ἰάκωβε, φερώνυμόν σου υἱόν μου σκέπε. Χ.»

*Ἦχος γ΄.*

Ἰαμάτων ποταμὸν
καὶ πολύῤῥυτον κρουνὸν
σέ, Ἰάκωβε σεπτέ,
ἄρτι ἔδειξε Χριστός.

Ἀσκητὰ νεολαμπές,
φῶς, Ἰάκωβε, Χριστοῦ
ἀνατέλλεις ταῖς ψυχαῖς
τῶν τιμώντων σε φαιδρῶς.

Κλέος νέων ἀσκητῶν,
σέ, Ἰάκωβε, πιστοὶ
μεγαλύνομεν λαμπρῶς
ὡς ἀγάπης φρυκτωρόν.

www.tezaurliturgic.ro

Ὦ Ἰάκωβε, μονῆς
τοῦ ὁσίου τοῦ Δαβὶδ
ἐγκαλλώπισμα σεπτόν,
δέξαι μέλισμα ἡμῶν.

Βέλη πλάνου πτερνιστοῦ
τοῦ φυράματος βροτῶν
σῇ, Ἰάκωβε, εὐχῇ
ἔθραυσας καρδιακῇ.

Ἐκκλησίας τοῦ Χριστοῦ
νεαυγέστατε φωστήρ,
νῦν, Ἰάκωβε, χοροὶ
σὲ ὑμνοῦμεν εὐσεβῶν.

Φῶς, Ἰάκωβε, λαμπρόν,
τῆς Εὐβοίας, σκοτασμὸν
διεσκέδασας παθῶν
τῶν σπευδόντων σοι πιστῶς.

Ἔρνος, πάτερ, εὐθαλὲς
Λιβισίου, ἀρετῶν
εὐωδίᾳ σου τερπνῇ
κατεμύρισας λαούς.

Ῥώμην θείαν ἐνδυθεὶς
ἀπεγύμνωσας ἐχθρόν,
οὗ, Ἰάκωβε, ἰσχὺν
ἔθραυσας σῇ ἀγωγῇ.

Ὡς ὁσίων καλλονὴν
σέ, Ἰάκωβε, χορὸς
μεγαλύνει χοϊκῶν
καὶ ἀγγέλων παμφαῶν.

Νῦν ἐκθύμως Εὐβοεῖς
καὶ φιλόσιοι ὁμοῦ,
ὦ Ἰάκωβε, πιστῶς
τάφον προσκυνοῦσι σόν.

Ὑψωθεὶς ἀσκητικῶς
πρὸς ἐπάλξεις οὐρανῶν
ἐδοξάσθης σὺν Δαβίδ,
ὦ Ἰάκωβε, σεπτῷ.

Μακαρίζομεν ἀεὶ
σέ, Ἰάκωβε κλεινέ,
τὸν ὀφθέντα νοερᾶς
ἐργαστήριον εὐχῆς.

Ὅλην ἔφλεξε Θεοῦ
σὴν καρδίαν ἀληθῶς
ἔρως, πάτερ ἱερέ,
ἐκ νεότητος τῆς σῆς.

Νεκρωθεὶς τῶν γεηρῶν
πόνοις σου ἀσκητικοῖς
μετετέθης πρὸς ζωὴν
τὴν ἀγήρω, θαυμαστέ.

Σέ, ὁσίου νῦν Δαβὶδ
τῆς μονῆς, ἐγκρατευτά,
ἀσκητὴν θεοειδῆ
ἀνυμνοῦμεν εὐλαβῶς.

Οἱ πιστοὶ ὡς ποταμὸν
ἰαμάτων ἐν χορῷ
σέ, Ἰάκωβε, τερπνοῖς
ἴοις στέφομεν ᾠδῶν.

Ὑπὲρ πάντων ἐκτενῶς
ἐκδυσώπει τὸν Θεὸν
αἰτουμένων ἀρετήν,
ἧς ὑπῆρξες ζηλωτής.

Ὑμνηπόλων σου χορὸν
ἐπισκίαζε ἀεὶ
τὸν ὑμνοῦντα σὴν θανὴν
τὴν ὁσίαν, ἀσκητά.

Πατὴρ ὡς ταχινὸς
θεραπεύεις ἱκετῶν
σῶν, Ἰάκωβε, θερμῶν
ἀῤῥωστίας ζοφεράς.

Οὐρανόφρον ἀσκητὰ
τῆς Εὐβοίας, δαψιλῶς
χάριν εἴληφας φρουρεῖν
τοὺς τιμῶντας μνήμην σήν.

Νικητὴς ἀναφανεὶς
ἐν ταῖς μάχαις κατ' ἐχθρῶν
νοητῶν παρὰ Θεοῦ
στέφος εἴληφας χρυσοῦν.

Μὴ ἐλλίπῃς ἀκλινῶς
ἱκετεύων τὸν Θεὸν
ὑπὲρ πάντων ὑμνητῶν
σῶν, Ἰάκωβε, πιστῶν.

Ὁσιότητος λαμπάς,
φαίνεις πᾶσι, τοῖς ᾠδαῖς
ἀνυμνοῦσι μελιχραῖς
ἔνθεόν σου βιοτήν.

Ὑπερόπτης γεηρῶν
καὶ ματαίων, ἀσκητά,
ἀνεδείχθης, ζηλωτὰ
τῶν ἀῤῥεύστων ἐν Ἐδέμ.

Στηλογράφημα σεπτὸν
ἀρετῶν παντοδαπῶν,
σέ, Ἰάκωβε, φωναῖς
ἀνυμνοῦμεν μυστικῶς.

Κοσμιότης τῆς μονῆς
οὐρανόφρονος Δαβίδ,
διακόσμους ἀκραιφνοῦς
δεῖξον πίστεως ἡμᾶς.

Εὐλογῶν ἐξ οὐρανοῦ
μὴ ἐλλίπῃς τοὺς πιστῶς
αἰτουμένους ἀρωγὴν
σήν, Ἰάκωβε, θερμήν.

Πολιτείας θεαυγοῦς
ὤφθης καὶ διαγωγῆς
ἰσαγγέλου ἀκρεμὼν
ἐν ἐσχάτοις τοῖς καιροῖς.

*Δόξα.*

Ἐκ τοῦ ὕψους οὐρανῶν,
ὁμοούσιε Τριάς,
ῥῦσαι πάντας πειρασμῶν
Σὲ δοξάζοντας ἀεί.

*Καὶ νῦν.* *Θεοτοκίον.*

Χάριν, σθένος καὶ ἰσχὺν
ἐπιβράβευε ἡμῖν
σὲ τιμῶσι, Μαριάμ,
τὴν Μητέρα τοῦ Χριστοῦ.

Δίστιχον.

Διάδοχόν σου, Κύριλλον, Ἰάκωβε,
ἕλκυσον πρὸς πόλον, βοᾷ Χαραλάμπης.

# ΥΜΝΟΣ

Εἰς τὸν μακαριστὸν Γέροντα τῆς Εὐβοίας
**Ἰάκωβον Τσαλίκην**
ψαλλόμενος κατὰ τὸ «Ἁγνὴ Παρθένε,
Δέσποινα» τοῦ Ἁγίου Νεκταρίου.

*Ἦχος πλ. α΄.*

Ἀκροστιχίς·
«Χαῖρε, πάτερ Ἰάκωβε. Χαραλάμπους».

**Χ**αρίτων θείων πέλαγος καὶ Παρακλήτου σκεῦος·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἀ**Α**στραπηβόλον πύρσευμα ἀσκήσεως ἀρίστης·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἰάσεων ἀδάπανον παναλγεινῶν ταμεῖον·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ῥεόντων, πνευματέμφορε, ἁπάντων ὑπερόπτα·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἐκβλάστημα περίδοξον τοῦ Λιβισίου Μάκρης·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

**Π**ροΐστορ ἐνθεώτατε μονῆς Δαβὶδ ὁσίου·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἀπαύγασμα σεμνότητος καὶ ἀπαθείας σέλας·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Τῶν ἀδυνάτων βοηθὲ καὶ ἀρωγὲ καμνόντων·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Εὐβοίας εὖχος τίμιον καὶ Ἐκκλησίας γέρας·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ῥανὶς τῆς ἀγαθότητος τοῦ εὐϊλάτου Κτίστου·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἰθῦντορ ἀπλανέστατε πιστῶν πρὸς σωτηρίαν·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἀρτιφανὲς ἀμάρυγμα σοφίας τῆς ἐνθέου·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Κακίας ὀλετήριον καὶ καθαιρέτα πλάνου·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ὡράϊσμα πολύτιμον ἀρετηφόρου βίου·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Βοήθεια καὶ στήριγμα δεινῶς χειμαζομένων·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἐλέους θείου ἄντλημα ἀστείρευτον τῷ ὄντι·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Χαρὰ καὶ ἀγαλλίασις ἁπάντων θλιβομένων·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἀγάπης θείας χείμαῤῥε καὶ εὐσπλαγχνίας φρέαρ·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ῥοδῶνος ἀγαθότητος εὐωδιάζον ῥόδον·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἁπλότητος περίλαμπρον τῆς ἐν Χριστῷ δοχεῖον·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Λιμὴν πιστῶν γαλήνιε ἐν δίναις ποντουμένων·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ἁγίων νεαυγέστατον τῆς Ἐκκλησίας ἄστρον·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Μονήρους βίου ἔκτυπον καὶ ἀρετῆς πυξίον·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Πραότατε καὶ πάναγνε ἀμνὲ Θεοῦ τοῦ Λόγου·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ὀσφράδιον πανεύοσμον πασχόντων συμπαθείας·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Ὑπὲρ ἡμῶν ἱκέτευε τῶν σὲ ὑμνολογούντων·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

Σὲ γὰρ θερμὸν κεκτήμεθα πρὸς Κύριον μεσίτην·
***Χαῖρε, πάτερ Ἰάκωβε.***

